341
ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΤΡΩΝ
272

Ἄσμενοι καταχωρίζομεν εἰς τὸν Ἑρμῆν τὰ εἰς Δίωνα τὸν Κάσσιον ὑπὸ τοῦ ἐλλογιμωτάτου Ναβήρου πεφιλοπονημένα ἑνὸς τῶν ἐπιφανεστάτων τοῦ Κοβήτου μαθητῶν καὶ δι' ἄλλων πραγματειῶν τὴν περὶ τὴν ἑλληνικὴν φιλολογίαν δεινότητα αὐτοῦ ἀποδείξαντος καὶ μάλιστα διὰ τῆς ἀξιολογωτάτης τοῦ λεξικοῦ τοῦ Φωτίου ἐκδόσεως. Πολλὴν δὲ τῷ ἀνδρὶ χάριν ὁμολογοῦμεν διὰ τὴν περὶ τὸν Ἑρμῆν φιλοφροσύνην αὐτοῦ. Κ. Σ. Κ.

---

# ΕΙΣ ΚΑΣΣΙΟΝ ΔΙΩΝΑ.

## *ΜΕΡΟΣ ΠΡΩΤΟΝ.*

Πολλῶν σοι, ὦ κράτιστε Κόντος, ἐν τῷ Λογίῳ Ἑρμῇ καλῶς εἰρημένων καὶ ἀκριβῶς διειλημμένων, ἐκεῖνό μοι δοκεῖς ἀληθέστατα εἰρηκέναι, ὡς τῷ ἐμπειρίαν ἔχοντι εὔκολόν ἐστι διαγνῶναι ἐν τοῖς τῶν νεωτέρων βιβλίοις πότερον τὸ πλημμεληθὲν καὶ διορθώσεως δεόμενόν ἐστι σφάλμα αὐτοῦ τοῦ συγγραφέως ἢ τῶν ἀντιγραφέων μόνον. Τοῦτο δ' ἔστιν ἰδεῖν ἐν πολλοῖς, ὧν καὶ σὺ ἐποιήσω τὴν ἀπόδειξιν, νεωστὶ δέ μοι περὶ τοῦ πράγματος σκοποῦντι ὅσον ἐδυνάμην μετὰ πλείστης ἐπιμελείας, ὁ Κάσσιος Δίων ἱκανὰ παρεῖχε τεκμήρια, περὶ ὧν φέρ' ἴδωμεν, ἐπεὶ ἔν γε τῷ παρόντι οὐδὲν ἄλλο πρόχειρον εἶχον, οὗ σοὶ καὶ τῷ Λογίῳ Ἑρμῇ μεταδοίην.

Πολλάκις μοι ἐπῆλθε θαυμάζειν τοῦ Δίωνος πῶς ὁ συγγραφεύς, ὁ μεμαθηκὼς δὴ ἀπὸ στόματος ὅλον τὸν Θουκυδίδην καὶ Δημοσθένη καὶ σχεδόν τι πάντας τοὺς ἀρίστους τῶν καταλογάδην γραψάντων καὶ δὴ καὶ τῶν ποιητῶν, ἐκ ταύτης τῆς πραγματείας οὐδὲν μέγα ὠφελήθη πλὴν πρὸς ῥημάτιά τινα καὶ κόμματα κ ε κ α λ λ ι ε π η μ έ ν α, ὥσπερ αὐτός που λέγει σεμνύνων τὴν τέχνην. Εἰ γὰρ ἐβούλετο μιμεῖσθαι τοὺς κάλλιστ' εἰρηκότας, ἔπρεπεν ἄρα οὐ μόνον

θηρᾶσθαι τὰς λέξεις καὶ τῶν ῥημάτων τοὺς τύπους, οἷς ὀλίγου δεῖν χρῆται κατὰ τρόπον, ἀλλὰ καὶ ἐπιμέλειαν ποιεῖσθαι, ὅπερ πολὺ μείζονος σπουδῆς ἄξιον ἦν, ὅπως αὐτοὶ οἱ λόγοι καλῶς ἀποτετορνευμένοι εἶεν καὶ αἱ περίοδοι τὸν τύπον ἔχοιεν τὸν τοῖς Ἀττικοῖς μάλιστα συνήθη καὶ ἐγκεκριμένον. Ἀλλ' ὁ Φώτιος ἐν τῇ Βιβλιοθήκῃ ἀναγνοὺς τοὺς τοῦ Δίωνος λόγους ἐπαινεῖ τὸν ἄνδρα διά τε τἄλλα καὶ διὰ τὰς περιόδους μετὰ παρενθέσεων δὴ παρατεταμένας· ἐγὼ δὲ, οὐ γὰρ ἀποκρύψομαι, τί γάρ; οὐδ' ὁπωστιοῦν ἀποδέχομαι τὸν τοῦ πατριάρχου λόγον· σαφηνίσαι δὲ βουλόμενος ὅ τι μοι ἀπαρέσκει, παραθήσω δύο παραδείγματα· ἵνα δὲ μὴ μάτην πονῶ ζητῶν τὰ πρόχειρα, χρήσομαι τοῖς χωρίοις τοῖς τῷ Δινδορφίῳ ἤδη ἐκγεγραμμένοις ἐν τῷ προοιμίῳ τῆς ἐκδόσεως ἣν νεωστὶ ἐξεπόνησεν. Οὕτως οὖν γράφει ὁ Δίων Μ. 7: ὑπὸ τῆς ἐμπειρίας, φησὶν, ἣν ἐκ τῆς συστρατείας ἣν μετὰ τῶν Ῥωμαίων ἐπεποίητο, ἐκέκτητο. Σκόπει δὲ καὶ τόδε· ΜΓ. 25: ἐπειδή τε δεινὴ ὀλιγανθρωπία διὰ τὸ τῶν ἀπολωλότων πλῆθος, ὥς ἔκ τε τῶν ἀπογραφῶν, καὶ γὰρ ἐκείνας τά τε ἄλλα ὥσπερ τις τιμητὴς ἐποίησε, καὶ ἐκ τῆς ὄψεως αὐτῆς ἠλέγχετο, ἣν κτέ. Οὐκ εἰώθασι οἶμαι οἱ Ἕλληνες οὕτω λέγειν καὶ δύ' ἢ τρία ῥήματα συννήσαντες εἰς τὸ τέλος, ὥσπερ φεισάμενοι αὐτῶν ἵνα μὴ πρὸ τοῦ δέοντος ἀναλωθῇ, οὕτω καταστρέφειν τὸν λόγον. Ἀλλὰ πῶς ὁ Δίων, ὁ πάντ' ἀκριβῶς μιμησάμενος, τοῦτ' οὐκ ᾔσθετο, ὃ ἡμεῖς οἱ ξένοι, οἷς ἐπίκτητός ἐστι παντελῶς ἡ ἀρχαία φωνὴ τῶν ὑμετέρων προγόνων, ῥᾳδίως πως καταφωρῶμεν καὶ ἀποβάλλομεν ὡς ξενικὸν καὶ ἀπρεπές; Ὁρᾷς τὸ ἄπορον· εἰ μὲν ἐνέτυχεν ὁ Δίων τοῖς τῶν ξυγγραφέων ἀρίστοις, πῶς οὐκ εἶδε τὸ πρὸ ποδῶν καὶ τῷ τυχόντι ἐμφανές; εἰ δὲ μὴ, πῶς ἐκείνους ἐμιμήσατο, ὃ δὴ φαίνεται πεποιηκώς; Εἶτα εἴ τις σκοπεῖ τὰς γνώμας, τὰς ἐγκατεσπαρμένας τοῖς τοῦ Δίωνος βιβλίοις, φαίνεται ὁ συγγραφεὺς ὀλιγόφρων γενόμενος μᾶλλον δὲ ὑπόμωρος· ἃ γὰρ ἔχει ἀποδοχῆς ἄξια, πάντα ταῦτα ἄλλοθεν ἀνέσπακεν, ὥσπερ οὐδεὶς ἀγνοεῖ τῶν τοῖς αὐτοῖς ἐντετυχηκότων βιβλίοις, οἷσπερ ἐκεῖνος. Τοιοῦτος δ' ὢν πῶς ἀκολουθῆσαι ἐδύνατο ταῖς τοῦ Πλάτωνος καὶ τοῦ Θουκυδίδου σεμνολογίαις, ἵνα τοὺς ἄλλους σιγῶ; Αὐτίκα δὴ ἀνέγνωκε τὸν Κριτίαν τοῦ Πλάτωνος ὁ οὐδὲν ἐπαΐων, ὡς ἐγὼ πείθομαι, φιλοσοφίας πέρι. Ὃ γὰρ λέγει περὶ τῆς τοῦ Οὐιτελλίου γαστριμαργίας ΞΕ. 4: ἄλλοι μὲν ἀκρατίσασθαι, φησὶ, παρεῖχον, οἱ δὲ ἀριστῆσαι, οἱ δὲ δεῖπνον, ἕτεροι μεταδόρπιά τινα πλησμονῆς παραμύθια· τοῦτ' ηὗρεν ἐκ τοῦ Πλάτωνος

ἐν Κριτίᾳ εἰπόντος σελ. 115 β: δυσθησαύριστος ἀκροδρύων καρπός, ὅσα τε παραμύθια πλησμονῆς μεταδόρπια ἀγαπητὰ κάμνοντι τίθεμεν. Τί δέ; τὰς τοῦ Θουκυδίδου δημηγορίας τοῦ οὐ πάντεσσι βατοῦ, ἆρ' οἰησόμεθα ἀναγνῶναι τὸν Δίωνα, τὸν δεισιδαίμονα, τὸν ταχυπειθῆ, τὸν γραϊκῶν ὕθλων μεστόν, τὸν γνωμιδιοσυλλεκτάδην καὶ δυνηθῆναι ἀκολουθῆσαι τῷ λέοντι μακρὰ βαίνοντι καὶ καταφρονοῦντι τῶν σμικρῶν τὸν νοῦν, ὥσπερ οὗτος;

Πότερον οὖν ἐνέτυχεν ὁ Δίων τοῖς ἀρχαίοις συγγραφεῦσι καὶ ποιηταῖς ἢ οὔ; διὰ γὰρ τὸ μιμεῖσθαι τὰς λέξεις καὶ διὰ τὴν ἐν τοῖς τῶν ῥημάτων τύποις ἀκρίβειαν ἐφαίνεθ' ἡμῖν οὐκ ἀνήκοος εἶναι αὐτῶν· διὰ δὲ τὸ τῆς φράσεως ἀηδὲς καὶ ἄχαρι καὶ σκαιὸν καὶ ἀσαφές, μηκύνων τὰς περιόδους καὶ τῇ ἀήθει τῶν ῥημάτων τάξει δυσεξήγητον ποιῶν τὸν λόγον, οὐκ ἐφαίνεθ' ἡμῖν πώποτε αἰσθέσθαι τὸ πρέπον, οὗπερ οὐδέν ἐστιν Ἀττικώτερον. Ὥρα ἐστὶν ἤδη λύειν τὸ ἄπορον. Οὔ μοι δοκεῖ ὁ Δίων μιμεῖσθαι αὐτοὺς τοὺς ἀρχαίους ἀλλ' ὑπακούει τοῖς τοῦ Φρυνίχου παραγγέλμασι καὶ φωναῖς καὶ ἀπειλαῖς — οἶσθα γὰρ τὴν τἀνδρὸς δυσκολίαν καὶ ἀπειροκαλίαν. — Ἀλλὰ πόθεν οἶδα ὅτι ὁ Δίων ἐν πᾶσι τῷ Φρυνίχῳ ἕπεται; Ὁπόθεν; τοῦτο νῦν δηλώσω ὡς ἂν δύνωμαι σαφέστατα.

Πρῶτον μὲν οὖν αὐτὸς ὁ Δίων τοιοῦτόν τι ὑποδείκνυσι, ΝΕ. 12: χρυσοῦν γὰρ δή, φησίν, καὶ ἐγὼ τὸ νόμισμα τὸ τὰς πέντε καὶ εἴκοσι δραχμὰς δυνάμενον κατὰ τὸ ἐπιχώριον ὀνομάζω καὶ τῶν Ἑλλήνων δέ τινες ὧν τὰ βιβλία ἐπὶ τῷ ἀττικίζειν ἀναγινώσκομεν, οὕτως αὐτὸ ἐκάλεσαν. Καὶ τοῦτο μὲν σαφές, ζητεῖται δὲ τίνος ἦν ταῦτα τὰ βιβλία καὶ πῶς αὐτοῖς ἐχρήσατο ὁ συγγραφεύς. Καὶ μὴν ὁ Φρύνιχος ἐγένετο τοῦ Δίωνος οὐ πολὺ πρεσβύτερος· ἄμφω δὲ Βιθυνοί· ὅθεν, εἰ σκοποίη τις τὰ μετὰ ταῦτα ἀποδειχθησόμενα, οὐκ ἂν ἀπεικότως δοξάσειε μαθητὴν γενέσθαι τοῦ Φρυνίχου τὸν Δίωνα. Δύο δὲ περίεστι τοῦ Φρυνίχου βιβλία· τὸ μὲν πρότερον Ἐκλογὰς περιέχει ἐκ τοῦ περὶ Ἀττικῶν Ὀνομάτων καὶ πάντες οἱ φιλόλογοι ἴσμεν καὶ πολλάκις τεθήπαμεν τὴν τοῦ Λοβεκκίου πολυαναγνωσίαν, τοῦ τὸ βιβλίον ἐκ πάνυ σμικροῦ εἰς μέγαν ὄγκον προαγαγόντος τοῖς περιβοήτοις σχολίοις, ἐν οἷς οὐκ ὀλίγα μὲν πολλοῦ ἄξια καὶ χρήσιμα, ἔνια δὲ καὶ φαῦλα καὶ ἀποβλητέα. Πάγχρηστον μὲν τὸ βιβλίον τοῖς βουλομένοις τὴν τῶν ἀρχαίων καὶ τὴν τῶν μεταγενεστέρων γλῶσσαν ὁπόσον τι διαφέρει γνῶναι ἀκριβῶς, τῷ δὲ Λοβεκκίῳ τοῦτ' οὐχ ἱκανῶς δεδήλωται. Ὁ γὰρ Φρύνιχος ἀεὶ ψέγει τὰ τῶν τότε ἀνθρώπων ἐν τῷ λέγειν αἴσχιστα καὶ ἀξύγ-

γνωστα παροράματα, οὐκ ἂν ποιήσας, ὡς ὁ λόγος αἱρεῖ, εἰ μὴ ταῦτα καὶ παρεισεδεδύκει εἰς τὴν χρῆσιν τῶν πεπαιδευμένων ἐστὶν ὧν, ὧν καὶ τὰ ὀνόματα καταλέγει. Καὶ ἡμεῖς μὲν οἱ παραλαβόντες τὰ κρείττονα — οὐδὲν γὰρ δέομαι ὀνομαστὶ εἰπεῖν παρ' ὅτου — οὐκ ἂν τάχα ἐξολίσθοιμεν εἰς σφάλματα τοιαῦτα καὶ τηλικαῦτα, οἷάπερ οἱ Φρυνίχῳ συνακμάζοντες, πολὺ δὲ μᾶλλον θαυμάζομεν τότε ἤδη, Μάρκου που ἐν Ῥώμῃ βασιλεύοντος, τοιαύτην τινὰ γενέσθαι τοῦ λόγου ταραχήν, ὥστε καὶ ἀγνοεῖσθαι τὰ προφανέστατα καὶ εὐδηλότατα. Οὐκ ἄρα χρήσιμον τὸ βιβλίον, ἵν' αὐτοὶ μή τι παραπαίωμεν, ἀλλ' ἵνα ἔτι καὶ νῦν ἀκούωμεν τῶν τότε ἀνθρώπων, ὃ οὐκ ἄν τις ἄλλως πιστεύσειεν, αἴσχιστα καὶ κάκιστα διαλεγομένων. Πολλῶν γὰρ βαρβάρων καὶ ἐν Συρίᾳ καὶ ἐν Αἰγύπτῳ καὶ ἀλλαχοῦ ἀνάγκῃ ἑλληνιστὶ λεγόντων, καίπερ οὐκ ἐντεθραμμένων τῇ φωνῇ, οἱ ἄλλοι ἐμιμήσαντό πως τὴν ἐν τῷ λέγειν ἀκαιρίαν, ὥσπερ ἀμέλει εἰκὸς ἦν· οὐ γὰρ προσδιελέγοντο τῷ Περικλεῖ καὶ τῷ Ἀλκιβιάδῃ, ἀλλὰ τοῖς ἐν πᾶσι διαλυμηναμένοις τὴν τῶν ἀρχαίων διάλεκτον. Ἡμῖν μέντοι ὠφέλιμον τοῦτ' εἰδέναι οὐ καθ' ἓν μόνον, μάλιστα δὲ πάντων ἵνα ἴδωμεν ὁπόθεν καὶ τὰ παλαίτατα ἀντίγραφά ἐστιν ἀνάπλεω φαυλοτάτων λέξεων παντοδαπῶν.

Ὁ δὲ Δίων, καίπερ ἐν πᾶσι τοῖς ἀντιγράφοις συνεχῶς ποικίλων καὶ συμφύρων τὰ ὑπὸ τῶν ἀκριβούντων τὰ τοιαῦτα ἐπιμελῶς διῃρημένα, φαίνεται ὅμως, καθάπερ νυνδὴ εἶπον, ἐν τοῖς τῶν ῥημάτων καὶ τῶν ὀνομάτων τύποις ἀεὶ τὰ βέλτιστα ᾑρημένος κατὰ τὸν Φρύνιχον. Τοῦτ' ἐμοῦ πάλαι ἀποδείξαντος ἱκανοῖς ὡς ἐγῷμαι τεκμηρίοις, οὐδὲν κωλύει μᾶλλον δὲ ἀναγκαῖόν πως ἐστι, πρὸς τοῖς πρότερον μοι εἰρημένοις ὀλίγ' ἄττα παραδείγματα προσεπιμετρῆσαι. Καὶ οὐ τοῦτο δείξω τὸν Δίωνα ἀναμάρτητον ὄντα ἐν τοῖς προφανεστέροις· μετὰ γὰρ τὸν Λινδόρφιον τὸν καλῶς καὶ δεξιῶς χρησάμενον τοῖς παλαιτάτοις ὧν περίεστιν ἀντιγράφοις, οὐδεὶς ἔτι ὑπολαμβάνει τὸν ἄνδρα οὕτως ἄθλιον καὶ κακοδαίμονα γενέσθαι, ὥστε λέγειν ἐπῖναι ἀντὶ τοῦ ἐπιέναι καὶ ἠρχόμην ἀντὶ τοῦ ᾖα καὶ ἤλειπται ἀντὶ τοῦ ἀλήλιπται καὶ ὤμοκε ἀντὶ τοῦ ὀμώμοκε καὶ ἐλεύσομαι ἀντὶ τοῦ εἶμι καὶ ἐωνησάμην ἀντὶ τοῦ ἐπριάμην καὶ εὑράμην ἀντὶ τοῦ εὑρόμην καὶ ἦς ἀντὶ τοῦ ἦσθα καὶ ἠκηκόεισαν ἀντὶ τοῦ ἠκηκόεσαν καὶ ἤμην ἀντὶ τοῦ ἦν καὶ ἄλλα μυρία, περὶ ὧν ὁ Φρύνιχος διαλαμβάνει. Οὐκ ἄρα ὁ συγγραφεὺς ὁ ἀνεγνωκὼς παρὰ Φρυνίχῳ· Ὠνάμην, ὤνασο, ὤνατο πάντα ἀδόκιμα, ὁ αὐτὸς εἰπὼν ΛΓ. 36: οὐδὲν

ἀπ᾽ αὐτῶν ἀπώνητο καὶ ΝΕ. 7: πολλὰ καὶ ἄλλα ἀπ᾽ αὐτοῦ ἀπώνητο, εἶτα πάλιν τετράκις ἀπᾴδει ἀπὸ τοῦ ὀρθοτέρου καὶ δὴ ἔγραψε ΜΑ. 23 καὶ Ν. 14 καὶ ΝΑ. 15 ἀπώνατο καὶ Μϛ. 44 ἀπώναντο· ἐῶ γὰρ τὸν Ξιφιλῖνον τὸν τῶν τοιούτων παντάπασιν ἀγνώμονα, εἰπόντα ΟΔ. 13: οὐ μὴν καὶ ὤναντό γε αὐτοῦ.

Ἀλλὰ σκόπει νῦν τὰ τοῦ Φρυνίχου Ἀφῆλιξ φησι λέγοντες ἁμαρτάνουσιν οἱ ῥητορικοί· τοὐναντίον γὰρ ᾗ δεῖ χρῶνται· τὸν μὲν γὰρ πρεσβύτερον ῥητέον ἀφήλικα, οἱ δὲ ἐπὶ τοῦ μηδέπω τῆς ἐννόμου ἡλικίας χρῶνται. Οἷς συναπτέον ἃ ὁ αὐτὸς Φρύνιχος λέγει ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις εὐθὺς ἀπ᾽ ἀρχῆς, ὅτι κατὰ σύγκρισιν προφέρεται ἡ λέξις. Ὁ δὲ Δίων τοὔνομα πολλάκις διὰ στόματος ἔχων, ἀεὶ φαίνεται κατὰ τρόπον εἰρηκώς. Πάλιν ὁ Φρύνιχος· ἐπίδοξον· τὸν προσδοκώμενον καὶ ἐλπιζόμενον ἐρεῖς, οὐχ ὡς οἱ ἀμαθεῖς, τὸν ἐπίσημον. Καὶ κατὰ τοῦτον ὁ Δίων· Ξ. 5: ἐπίδοξοι λήψεσθαι τὸ κράτος ἐγένοντο. Ὁ δὲ Ξιφιλῖνος ΞΒ. 20: ἄλλα τ᾽ ἔπραξε λαμπρὰ καὶ ἐπίδοξα, τοῦ Δίωνος γράψαντος ὡς ἐγῷμαι ἔνδοξα. Ὁ δ᾽ αὖ Φρύνιχος ἀποβάλλει καὶ τὸ τῶν νεωτέρων ἐδεδίεσαν ἀντὶ τοῦ ἐδέδισαν· εἶτα ὀρθότατα ὁ Δίων — προσγράψω δὲ τὰ χωρία, ἐπεὶ καὶ σύ μοι δοκεῖς πολυπραγμονεῖν τὰ τοιαῦτα — ἐδεδίεις ΜΔ. 18; ἐδεδίει Λϛ. 51, ΛΗ. 16, ΜΓ. 15, ΜΓ. 3, ΜΓ. 10, ΜΕ. 14; δεδίασιν ΛΖ. 40; δεδιέναι Μ. 10; δεδιὼς ΜΘ. 2, ΜΘ. 15, ΜΖ. 6, Μ. 16, ΜΒ. 27; δεδιότων Μ. 11; δεδιότας Μ. 64; δεδιότως ΜΒ. 17. Διορθωτέον ἄρα τὸ νῦν ἀναγιγνωσκόμενον ἐδεδίεσαν Τόμ. Α', σελ. 96 ΔΦ, ΛΖ. 44; ΜΑ. 8. Πάλιν ὁ Φρύνιχος· Δυσωπεῖσθαι· Πλουτάρχῳ μὲν ἔστι περὶ δυσωπίας βιβλίον, τοῦθ᾽ ὅπερ οἴεται δηλοῦν τὸ ἐντρέπεσθαι καὶ μὴ ἀντέχειν δι᾽ αἰδῶ. Ἀλλὰ σημαίνει ἡ δυσωπία παρὰ τοῖς ἀρχαίοις τὴν ὑφόρασιν καὶ τὸ ὑποπτεύειν. Πείθεται ὁ Δίων λέγων Τόμ. Α', σελ. 90 ΔΦ.: τὸ ἅπαξ προσπταίσαν πρός τινας ἀεί τε δυσωπεῖταί σφας καὶ θαρρεῖν οὐκέτι τολμᾷ. Οὐκ ἐγκρίνει ὁ Φρύνιχος τὸ τῷ Φαβωρίνῳ κακῶς εἰρημένον ἐξιδιάζεσθαι· οἱ δὲ ἀρχαῖοι, φησίν, λέγουσιν ἰδιοῦσθαι. Ὁ δ᾽ Ἀνταττικιστής, ὁ ἀεὶ ἀντιλέγων τῷ Φρυνίχῳ, ὁ Ὦρος ὁ Μιλήσιος δηλονότι κατὰ τὸν Ῥουγκήνιον καὶ τὸν Ῥισχήλιον, οἷς ἐγὼ πείθομαι, παράγει τὸν Δίφιλον ὡς χρώμενον τῷ ῥήματι, ἀλλ᾽ ὁ Δίων οὐκ ἀντιτείνει τῷ λόγῳ καὶ γράφει· ΛΟ. 29: ἐλπίδι τοῦ πάνυ αὐτὸν ἰδιώσεσθαι καὶ ὡσαύτως Ν. 1, ΝΖ. 10, ΝΘ. 28, ΟΗ. 1. Πάλιν ὁ μὲν Φρύνιχος· Διόσκουροι ἐρεῖς· ... Διόσκοροι· γελάσεις

οὖν τοὺς σὺν υ λέγοντας. Ὁ δὲ Δίων ἀποδέχεται καὶ τετράκις εὗρον παρ' αὐτῷ. Εἶτα καὶ τοῦτ' ἄξιον ἐπισκέψασθαι ὅτι ὁ Φρύνιχος, ὁ τοῖς ἄλλοις ἀεὶ πικρῶς ἐπιτιμῶν, αὐτὸς ἁμαρτάνει λέγων γελάσεις ἀντὶ τοῦ γελάσει, ἐπεὶ τὸ γελάσεσθαι μόνον ἐν χρήσει οὐχὶ τὸ γελάσειν. Καὶ μὴν ἔν γε τοῖς σωζομένοις οὐδαμοῦ διαλέγεται περὶ τῶν μελλόντων οἷα ἔτι γελάσομαι καὶ ἁμαρτήσομαι. Τοῦτο ἴσως ἀγνοῶν καὶ αὐτὸς δὶς ἢ τρὶς σφάλλεται ὁ γραμματικὸς καὶ τὸν Δίωνα τυφλὸν ὄντα συχνῶς ἀπεπλάνησε. Μὴ κινῶμεν οὖν τὰ παρ' αὐτῷ πλημμελῆ Ἀκούσειν ΜΕ. 44, Νϛ. 3, Τόμ. Α', σελ. 126 ΔΦ., Ἁμαρτήσειν ΝΘ. 20, Ἀπαντήσειν ΛΘ. 63, ΜΒ. 41, Νϛ. 45, ΞΗ. 29, Ἀπολαύσειν Τόμ. Α', σελ. 86 ΔΦ., ΜΓ. 18, ΝΒ. 18, ΝΒ. 28, ΝΔ. 16, ΝΒ. 35, ΝΘ. 16, ΟΗ. 28, Βαδίσειν ΛΖ. 53, Διώξειν Λϛ. 33, ΝΑ. 10, Ξ. 9, Ἐπαινέσειν Λϛ. 13, ΛΗ. 7, Ξ. 11, μηδὲ τὸ Χωρήσειν ὃ τρισκαιδεκάκις εὗρον. Οὐδὲ κινητέα τὰ τοιαῦτα· Ἀπολέσειν Μϛ. 28, ΞΑ. 15, ΞΗ. 29, Βιβάσειν ΝΗ. 25, Ἐλάσειν ΝΖ. 4, Μϛ. 37, ΟΗ. 38, Καλέσειν ΜΔ. 26 καὶ 17 καὶ Τελέσειν ΜΑ. 22, ΜΕ. 6.

Ἀξύνετα διδάσκει ὁ Φρύνιχος ἐπεὶ ἐν τῷ ἀντιγράφῳ διέφθαρται τὸ χωρίον· Τὸ μὲν κοιτὼν ἀδόκιμον, τὸ δὲ προκοιτὼν οὐ δόκιμον· ἡμῖν δὲ καλὸν χρῆσθαι τῷ ἀττικῷ ὀνόματι· προδωμάτιον γὰρ λέγουσιν, ἐπεὶ καὶ δωμάτιον τὸν κοιτῶνα. Ὁ δὲ γραμματικὸς τοῦτο βούλεται δεικνύναι ὅτι λεκτέον δωμάτιον καὶ προδωμάτιον μᾶλλον ἢ κοιτῶνα καὶ προκοιτῶνα. Τεκμαίρομαι δὲ ἐκ τοῦ Δίωνος ἑξάκις οὕτω λέγοντος· ὁ δὲ Ξιφιλῖνος ἐξοκέλλει εἰς τὸ ἀμαθέστερον οὕτω πως γράφων Οϛ. 14: ἐπεπίστευτο τήν τε γνώμην αὐτοῦ καὶ τὸν κοιτῶνα. Εἰπόντος τοῦ Φρυνίχου· Εὐστάθεια ἢ εὐσταθής· πόθεν καὶ ταῦτα εἰς τὴν τῶν Ἑλλήνων φωνὴν εἰσερρύη ἀδοκιμώτατα ὄντα φροντίδος ἄξιον. Ἀλλὰ σὺ ἐμβρίθεια λέγε καὶ ἐμβριθής, οὐκ ἀπειθεῖ ὁ Δίων Τόμ. Α', σελ. 84 ΔΦ. καὶ ΞΘ. 6. Καλῶς ὁ Φρύνιχος Λάμυρος· οἱ νῦν μὲν τὸν ἐπίχαριν τῷ ὀνόματι σημαίνουσιν· οἱ δ' ἀρχαῖοι τὸν ἰταμὸν καὶ ἀναιδῆ. Ἀλλὰ νῦν μέντοι ὅ γε Δίων οὔ μοι δοκεῖ προσσχεῖν τὸν νοῦν· ὑπογράφω τὸ χωρίον ἵν' αὐτὸς ἐπισκέψῃ· περὶ τῆς Κλεοπάτρας ὁ Δίων ΜΒ. 34 οὕτω λέγει· τό τε φθέγμα ἀστειότατον εἶχε καὶ προσομιλῆσαι παντί τῳ διὰ χαρίτων ἠπίστατο, ὥστε λαμπρά τε ἰδεῖν καὶ ἀκουσθῆναι οὖσα κἀκ τούτου πάντα τινὰ καὶ δυσέρωτα καὶ ἀφηλικέστερον ἐξεργάσασθαι δυναμένη κτέ. Τοιαύτη δή τις οὖσα ἢ

Κλεοπάτρα οὐχ οὕτω μοι δοκεῖ λαμπρὰ γενέσθαι ἰδεῖν ἀλλὰ ἐπίχαρις τουτέστι λαμύρα. Ἔτι δὲ καὶ ἀναιδείας τι ἴσως προσῆν. Τὸ δὲ τοῦ Φρυνίχου ψευδές ἐστι περιφανῶς· Μιαρία ἀδόκιμον· τὸ δὲ μιαρὸς ἀρχαῖον. Τίνι γὰρ οὐκ εἴρηται τοῦτο τοὔνομα; εἰ δὲ καὶ μάλιστα ἠγνόει ὁ γραμματικὸς κείμενόν που τὸ μιαρία, ἆρ᾽ οὐκ ἐξῆν ἀπὸ τοῦ μιαρὸς κατὰ τὴν ἀναλογίαν ὀνοματοποιεῖν; Ἐξῆν δήπου καὶ καλῶς ὁ Ἀνταττικιστὴς ἐγκρίνει τοὔνομα· ὃ δὲ γέγραφε ἐλέγχων τὸν Φρύνιχον σελ. 108, 15, τοῦτ᾽ οὐ σώζεται ἐν τῇ ἐπιτομῇ. Καταφωρῶμεν μέντοι τὸν Ὦρον αὐτὸ τοῦτο εὑρόντα ὃ νῦν ἡμεῖς ἀναγιγνώσκομεν. Ἀλλ᾽ οὐ φροντὶς τῷ Δίωνι λέγοντι ΜΕ. 38· τὴν μιαρίαν τοῦ Ἀντωνίου, καὶ ΟΘ. 17· τῆς μιαρίας τοῦ Σαρδαναπάλλου. Πόθεν τοῦτο; τὸ πρᾶγμα θαυμάσιον γάρ. Ἐμοὶ οὐ δοκεῖ ὁ γραμματικὸς γεγραφέναι ὃ ἡμεῖς ἀναγιγνώσκομεν καὶ εὗρε δὴ καὶ ὁ Ὦρος. Ἀλλ᾽ ἀλλαχοῦ ἀπαγορεύει ὅπως μή τις ἐρεῖ ὕελος μιερὸς καὶ τὰ τοιαῦτα ἀντὶ τοῦ ὕαλος καὶ μιαρός. Συχνῶς δὲ δὶς ἢ καὶ τρὶς ταὐτὰ λέγων, τοῦτο καὶ νῦν ἐν νῷ εἶχε καὶ δοκεῖ μοι οὕτω γράψαι· Μιερία ἀδόκιμον, τὸ δὲ μιαρὸς ἀρχαῖον καὶ μιαρία. Οὐδὲν δὲ θαυμαστὸν, εἰ διέφθαρτο καὶ τὸ ἀντίγραφον, ᾧ ἐχρήσατο ὁ Ἀνταττικιστής. Τοῦτο δὲ μόνον προσθήσω ὁδοῦ πάρεργον τὸ τοῦ Ἀντιαττικιστοῦ ὄνομα οὐκ εἶναι ἐκ τοῦ παλαιοῦ ἀντιγράφου — εἰώθαμεν γὰρ τὸν ἄνδρα Ἀντιαττικιστὴν καλεῖν καὶ οὐκ Ἀνταττικιστὴν κατὰ τὸν ὀρθὸν λόγον, ὥσπερ καὶ σὺ γράφεις — ἀλλ᾽ ὁ Ῥουγκήνιος μεταγράψας τὸ βιβλίον, ἔπλασε τοὔνομα ἵνα δηλωθείη ὁ τοῦ βιβλίου σκοπός.

Δυναίμην ἂν ἔτι ἔνια τοιουτότροπα συνείρειν τοῖς ἔμπροσθεν, ἀλλ᾽ ἱκανὰ τὰ ἀποδεδειγμένα καὶ λεκτέον ἤδη μοι διὰ βραχέων περὶ τοῦ δευτέρου τοῦ Φρυνίχου βιβλίου, τοῦ πάλαι μὲν πολλῷ τινι τοῦ προτέρου μείζονος καὶ ὀγκωδεστέρου ὄντος, νῦν δὲ συντετμημένου εἰς πονημάτιον οὐ μέγα ὃ εὑρόντος τοῦ Ῥουγκηνίου ἐν Παρισίοις, ὁ Βεκκῆρος συμπεριείληφε τοῖς Ἀνεκδότοις. Ἐπιγέγραπται τὸ βιβλίον Σοφιστικὴ Παρασκευὴ καὶ, ἵνα μὴ πέρα τοῦ δέοντος μακρολογῶ, συνέγραψεν ὁ Φρύνιχος, ἵν᾽ οἱ ῥήτορες ἄφθονα ἔχοιεν παραδείγματα ἐκ τῶν Ἀττικωτάτων ξυγγραφέων ξυνειλεγμένα, ἃ μιμήσαιντο ἢ καὶ μεταγράψειαν. Οἶσθα δὴ, ὦ κράτιστε Κόντος, τί ὁ Φώτιος λέγει· ἔστι δέ, φησὶ, τὸ βιβλίον λέξεών τε συναγωγὴ καὶ λόγων κομματικῶν, ἐνίων δὲ καὶ εἰς κῶλα παρατεινομένων τῶν χαριέντως τε καὶ καινοπρεπῶς εἰρημένων τε καὶ συντεταγμένων. Περιέχει ἡ ἐπιτομὴ ἡ μόνη σωζομένη οὐδὲ πολλοστὸν

μέρος τοῦ πρὶν τεύχους, παμμεγάλου γενομένου κατὰ τὸν Φώτιον. ἀλλ' ἐκ τοῦ Ἄλφα ϛοιχείου ὀλίγῳ πλείονα, οὐ πολλὰ δέ, ἔϛιν ὁρᾶν ἐν τῷ καλουμένῳ ἕκτῳ τοῦ Βεκκήρου λεξικῷ. Καὶ πάλαι περὶ τούτου τοῦ βιβλίου μετ' ἐπιϛάσεως εἰρηκότος ἐμοῦ, ἀπόχρη νῦν τοῦτο μόνον διϊσχυρίσασθαι, ὅτι ζητοῦντί μοι μετὰ πλείϛης ἀκριβείας σχεδόν τι πᾶσαι αἱ παρὰ τῷ Δίωνι ἀπεξενωμέναι καὶ καθημαξευμέναι λέξεις εὑρέθησαν τῷ Φρυνίχου λεξικῷ ἔτι καὶ νῦν ἐνοῦσαι. Καὶ οὐ τοῦτο λέγω ὡς οἷός τ' ἂν εἴην μυρία παρασχέσθαι τεκμήρια — κομπῶδες γὰρ τοῦτό γε — τετρακόσια δ' ἂν ἴσως ἀπαριθμησαίμην. Ὅθεν παντί που δῆλον, ὥσπερ αὐτὸς ὁ Δίων ὑποδείκνυσι καὶ ἐγὼ ὀλίγον ἔμπροσθεν εἶπον, ὅτι πάντα τὰ ἀϛειότατα ἐκ Πλάτωνος καὶ Θουκυδίδου καὶ τῶν ἄλλων οὐκ αὐτός ἐϛιν ἐξειλοχὼς ἀλλὰ βοηθοὺς προσκαλέσας τοὺς Ἀττικιϛάς, ἐν οἷς ἡμῖν ἀνεφάνη καὶ ὁ Φρύνιχος. Τὸν δὲ Πολυδεύκη δι' αἰτίαν τινά, ἣν ἴσως ὕϛερον ἐρῶ, οὔ μοι φαίνεται ἀνεγνωκέναι.

Οὐκ ἔϛαι ἄπο τρόπου τὰ νυνδὴ ῥηθέντα τεκμηρίοις τισὶ βεβαιῶσαι· χρήσομαι δ' ἐξεπίτηδες τοῖς οὕπω πρότερόν μοι εἰρημένοις.

Γράφει ὁ Δίων ΞΑ. 4: ὁ Νέρων οὐ φιλοπραγματίας ἦν. Πόθεν τοῦτο τὸ κεκομψευμένον; Ἐκ τοῦ Φρυνίχου δηλαδή, εἰρηκότος· Ἄνθρωπος φιλοπραγματίας· δηλοῖ τὸν φιλοῦντα καὶ σπουδάζοντα πάντα τρόπον πράγματα μεταχειρίζεσθαι. Ἀλλαχοῦ λέγει ὁ Δίων ΛΖ. 46: τὸ μίασμα αὐτοῦ ἀποδιοπομπούμενοι· τεράϛιον τοῦτ' ἄρ' ἦν τοῖς ἐν Ῥώμῃ ὁπωσδήποτε ἑλληνίζουσιν· ὁ δὲ Δίων χαίρει χρώμενος τοῖς παμπαλαίοις καὶ τρόπον τινὰ σαπροῖς, εὑρὼν καὶ τοῦτο τὸ ῥῆμα παρὰ Φρυνίχῳ σελ. 7, 15. Ἄπαρνος, φησὶν ὁ Φρύνιχος σελ. 8, 26, σεμνότερον τοῦ ἔξαρνος καὶ πολιτικώτερον. Κᾆτα χρῆται ὁ Δίων ΛΖ. 26 Ἀψευδεῖν εἴρηκεν ὁ Ἀριϛοφάνης κατὰ τὸν Φρύνιχον. Καὶ ὁ Δίων ΜΔ. 34: ἦ μὴν ἀψευδήσειν πάντα πιϛούμενοι. Πάλιν ὁ Φρύνιχος· Ἄμαχον τὸ κακόν· ὑπερβολικῶς, πρὸς ὃ οὐκ ἄν τις μαχέσαιτο. Καὶ ὁ Δίων ΛΗ. 45: οὔτε ἄμαχος οὔτε δυσπολέμητός ἐϛι. Καὶ μὴν τοῦτό γ' οὐκ ἐκ τριόδου σεσυρμένον τῷ Φρυνίχῳ· Ἀναφαλαντίας· οὐχ ὁ φαλακρὸς ἀλλ' ὁ ἀρχόμενος ἀποφαλακροῦσθαι. Θαυμάζει ὁ Δίων καὶ λέγει ΜΓ. 43, περὶ τοῦ Καίσαρος ὅτι ἀναφαλαντίας ἦν· εἶτα ἐν τῷ παγγελοίῳ διηγήματι περὶ τοῦ τῶν περὶ τὸν Ἀπρωνιανὸν φόνου Ο϶. 8: οὐχ ὅτι οἱ φαλακροὶ ἀλλὰ καὶ οἱ ἄλλως ἀναφαλαντίαι ἔδεισαν. Καὶ ὃ εἴρηκεν οὐκ οἶδ' ὅϛις τῶν κωμικῶν· ἄψυχον ἄνδρα λαμβάνειν συνέμπορον· τὸ δὲ

ἄψυχόν ἐςι τὸ δειλὸν κατὰ τὸν Φρύνιχον· εἶτα Δίων διηγούμενος περὶ τῆς ἐν Φαρσάλῳ μάχης ΜΑ. 58: ἐγκύψαντες ἠτρέμιζον ὥσπερ ἄψυχοι. Ἐν τῇ μεταφράσει εὑρήσεις τὸ χωρίον γελοίως πάνυ διηρμηνευμένον· exanimorum instar oculis in terram defixis constiterant. Ἀλλ' οὐ τοῦτο λέγει ὁ συγγραφεὺς, ἀλλ' ὅτι οὐκ ἐκινοῦντο αἱ φάλαγγες ὡσπερανεὶ ἀποδειλιασάντων τῶν ςρατιωτῶν. Πάλιν ὁ Φρύνιχος· Ἄνανδρος γυνή· ἡ μὴ ἔχουσα ἄνδρα. Καὶ τοῦτ' ἀποδέχεται ὁ Δίων ΝΔ. 16: τοῖς τε ἀγάμοις καὶ ταῖς ἀνάνδροις βαρύτερα τὰ ἐπιτίμια ἐπέταξε. Ἰδὲ καὶ τοῦτο, οὗ οὐ ῥαδίως ἄν τις εὕροι Ἀττικώτερον ὄνομα· Ἀναριχᾶσθαι· πάνυ Ἀττικὴ ἡ φωνή. Εἶτα ὁ Φρύνιχος ἐπάγει· οἱ δὲ δύο ρρ γράφοντες ἁμαρτάνουσιν. Καὶ δὴ ἀναγινώσκεται παρὰ τῷ Δίωνι ΜΓ. 21: τοὺς ἀναβασμοὺς τοὺς ἐν τῷ Καπιτωλίῳ τοῖς γόνασιν ἀνηρριχήσατο. Καὶ οὕτω μὲν παρὰ τῷ Δινδορφίῳ, ἐν δὲ τοῖς ἀντιγράφοις γράφεται ἀνερριχήσατο, ἐςὶ δὲ ὀρθότατον μὲν τὸ τοῦ Δινδορφίου ἀνηρριχήσατο, ὁ δὲ Δίων κατὰ τὸν Φρύνιχον περιφανῶς δὴ ἔγραψε ἀνεριχήσατο. Παράγει ὁ Φρύνιχος ἐκ τοῦ Ἀριςοφάνους τὸ ἀκρατίσασθαι· καὶ ὁ Δίων οἶδε τὸ ῥῆμα, τὸ δὲ χωρίον ἀνωτέρω ἤδη ἐκγέγραπταί μοι. Σεμνῶς πάνυ ὁ Σοφοκλῆς εἴρηκε τὸ ἀχανὲς ἐπὶ τοῦ λαβυρίνθου τοῦ μὴ ἔχοντος ςέγην ἢ ὄροφον. Τοῦθ' εὑρὼν παρὰ τῷ Φρυνίχῳ ὁ Δίων γράφει ΛΖ. 17, περὶ τοῦ ἐν τοῖς Ἱεροσολύμοις νεώ, ὅτι ἀχανής τε καὶ ἀνώροφος ἦν. Καὶ πάλιν ἀλλαχοῦ λέγει ὅτι πάσης τῆς ςέγης καθαιρεθείσης τὸ Διριβιτώριον ἀχανὲς ἐγένετο. ΝΕ. 8. Πολλῷ πλείονα ἄν τις τοιαῦτα ἀποδείξειεν ἐν τῷ ἕκτῳ ῥητορικῷ λεξικῷ τοῦ Βεκκήρου· νῦν δ' ἴσως ἐξαρκεῖ, ἵνα μὴ κόρος ἐγγίγνηται διὰ τὸ πλῆθος ἄμετρον ἐπελθόν, τὰ λοιπὰ ςοιχεῖα διὰ βραχέων διεξελθεῖν. Αὐτίκα γυμνοπαιδιά· ἐν Λακεδαίμονι κατὰ τὴν ἀγορὰν παῖδες γυμνοὶ παιᾶνας ᾖδον. Εἶτα ὁ Δίων ΜΔ. 6, λέγει περὶ τῶν τοῦ Πανὸς γυμνοπαιδιῶν, εἰς τὴν τοῦ Καίσαρος τιμὴν ἐν Ῥώμῃ τελουμένων. Τί δὲ τὸ γνωσιμαχῆσαι; τί δὲ τὸ γύννις; τί δὲ τὸ δωροληψία; τί δὲ τὸ διασιλλοῦν; τί δὲ τὸ εὐθετεῖν; τί δὲ τὸ ἔξεδρον; τί δὲ τὸ ἐπαμφοτερίζειν; τί δὲ τὸ εἰσπώτη. Ἐπιλίποι μ' ἂν ἡ ἡμέρα, εἰ βουλοίμην πάντα τὰ τοιαῦτα ἐκλέγειν. Ἀλλ' ἅλις τούτων, ἵν' ἐλέγχηται ὁ Δίων οὐκ αὐτὸς ἀνεγνωκὼς τοὺς συγγραφέας οὓς μιμεῖται, ἀλλὰ τὰ τῶν Ἀττικιςῶν βιβλία, ἐν οἷς οὐδεὶς ἂν ἔτι ἀντιλέγοι, ὡς οὐκ ἐγένετο καὶ ὁ Φρύνιχος.

Ἔτι δὲ σκόπει τάδε τοῦ Φωτίου· χρήσιμον, φησὶ, τὸ τοῦ

Φρυνίχου βιβλίον τοῖς τε συγγράφειν καὶ ῥητορεύειν ἐθέλουσιν. Ὁ δὲ Δίων καλοῦ καὶ ὡραίου λόγου ὕλην εὑρὼν ἐν αὐτῷ, τίνας νῦν οὐκ ἀνεγνωκέναι δοκεῖ; Σιωπῶ τὸν Θουκυδίδην, ἐπεὶ πάντες ἴσμεν ὁπόσα ἐξ ἐκείνου μετενήνοχεν ὁ Δίων, ἔτι δὲ καὶ τὸν Πλάτωνα, τὸν Δημοσθένη, τὸν Αἰσχίνην, τὸν Ἡρόδοτον, τὸν Ξενοφῶντα· ἀλλὰ καὶ τοὺς ποιητὰς συχνῶς μιμεῖται. Γεύματος χάριν φέρ' ἀκούσωμεν τοῦ Καλήνου διαβάλλοντος τὸν Κικέρωνα. Ὁ δὲ ῥήτωρ, εἰ ἄρα τοῦτο τοὔνομα αὐτὸν καλεῖν δεῖ ἀλλὰ μὴ σπερμολόγον, ἔπλασε καὶ τοῦτο ψευδόμενος καὶ ἀπαναισχυντῶν. Πρὸς τὴν Κερελλίαν, φησί, τοιαύτας ἐπιστολὰς γράφεις οἵας ἂν γράψειεν ἀνὴρ σκωπτόλης ἀθυρόγλωσσος πρὸς γυναῖκα ἑβδομηκοντοῦτιν πληκτιζόμενος. Ἀλλὰ τὸ μὲν σκωπτόλης ἔλαβεν ὁ Δίων ἐκ τῶν Ἀριστοφάνους Σφηκῶν, τὸ δὲ πληκτιζόμενος ἐκ τῶν Ἐκκλησιαζουσῶν, τὸ δὲ ἀθυρόγλωσσος πόθεν; Ἀλλὰ δῆλον ὅτι ἐκ τοῦ Εὐριπίδου οὕτω λέγοντος ἐν τῷ Ὀρέστῃ·

ἀνήρ τις ἀθυρόγλωσσος ἰσχύων θράσει.

Ἀλλὰ τὸ ἕκτον τοῦ Βεκκήρου λεξικὸν σαφῶς δείξει, ὃ νῦν οὐδεὶς θαυμάσεται, τὸν Δίωνα εὑρεῖν τὸ Εὐριπίδειον ἀθυρόγλωσσος παρὰ τῷ Φρυνίχῳ. Εἰ δὲ τοῦτο ἀπιστεῖς ἔτι, — ἀμέλει γὰρ οὐ ταχυπειθεῖς ἡμεῖς οἱ φιλολόγοι — πότερον ἡ λέξις ἐκ τοῦ Φρυνίχου εἰς τὸ λεξικὸν μετενήνεκται ἢ ἄλλοθέν ποθεν μετακέχυται, λαβὲ τὸν Ἀνταττικιστὴν καὶ εὑρήσεις αὐτὸν κἀνταῦθα πολεμοῦντα τῷ Φρυνίχῳ· ὅ τι δ' εἴρηκεν οὐ σώζεται.

Ὁ δὲ Δίων συνεχῶς μιμούμενος τὸν Θουκυδίδην καὶ αὐτολεξεὶ ἐκγράφων, ἐνίοτε ἡμῖν χρήσιμός ἐστιν, ἵν' ἐπιδιορθῶμεν τὰ ἐκείνου. Καὶ μὴν πρότερον ἤδη τοῦτο δείξας, νῦν ὀλίγ' ἄττα παραδείγματα προσπαραγράψω. Ὁ Θουκυδίδης λέγει Α. 6, τὸ παλαιὸν Ἑλληνικὸν ὁμοιότροπα τῷ νῦν βαρβαρικῷ διαιτώμενον. Καὶ τοῦτο μὲν οὐδεὶς ἂν ὑποπτεύσειε μὴ ὀρθῶς εἰρῆσθαι, ὅρα δὲ νῦν τὸν Δίωνα οὕτω λέγοντα· ΜΖ. 52: τὰ μὲν ὁμοιοτροπώτατα ἐρρήθη· ΜΘ. 9: ὁμοιοτροπώτατα τοῖς πρόσθεν ἐναυμάχησαν· ΝΒ. 39: ἐς πάντα δὴ πάντως ὁμοιοτροπώτατα αὐτοῖς ζῇς· ΛΖ. 25: τὸν ὕπατον ὁμοιοτροπώτατον σφίσιν ὄντα· ΟΗ. 34: ὁμοιοτροπώτατά ἐστι καὶ οὐδὲν μέγα λεπτολογηθέντα ἔχει. Νῦν δ' ἴσως φανεῖται οὐκ εἰρηκέναι ὁ παλαιὸς συγγραφεὺς ὁμοιότροπα ἀλλ' ὁμοιοτροπώτατα· καὶ ἔστι δὴ τοῦτο τὸ ὀρθόν· τὸ γὰρ ὁμοιότροπα κατὰ τὸν ἀληθῆ λόγον πλέον ἐμφαίνει τοῦ ὁμοιοτροπώτατα, ἀλλ' οὐ τοῦτο λέγει ὡς ἡ δίαιτα τῶν πάλαι Ἑλλήνων

ὁμοῖα ἦν τοῖς τότε βαρβάροις, ἄγαν γὰρ τοῦτό γε, ἀλλ᾽ ὥσπερ ἡμεῖς φαῖμεν ἂν τάχα, ὁμοῖα σχεδὸν καὶ παραπλήσια, οὐχ ὁμοιότροπα ἀλλ᾽ ὁμοιοτροπώτατα. Διηγεῖται ὁ Θουκυδίδης Β. 82, τὴν τοῦ Κνήμου στρατείαν τὴν ἐπὶ Στράτον. Ὁ δὲ χωρήσας πρὸς τὴν πόλιν, διαφθαρέντων τῶν Χαόνων ὑπὸ τῶν Στρατίων αἰφνιδίως ἐκ τῶν ἐνεδρῶν προσπεσόντων, πάλιν ἀναχωρεῖ πρὶν τὴν ξυμβοήθειαν ἐλθεῖν. Θαυμάζω τοῦτο, καρτερῶς γὰρ ξυνεβοήθησαν οἱ Στράτιοι καὶ ἐνίκησαν τοὺς πολεμίους, ἡ γὰρ ξὺν τρόπον τινὰ παρέλκει ἐν τῷ ξυμβοηθεῖν παρὰ τῷ Θουκυδίδῃ. Βέλτιον ἂν εἴη ὡς ἐγᾦμαι πρὶν τὴν πλείω ξυμβοήθειαν ἐλθεῖν. Καὶ τοῦτο δὴ εὗρε καὶ ὁ Δίων οὕτω λέγων ΛΘ. 51: ἔφθη τῆς γῆς κρατήσας πρὶν τὴν πλείω συμβοήθειαν ἐλθεῖν. Εἶτα μετ᾽ οὐ πολλὰ λέγει ὁ Θουκυδίδης Β. 84: τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυδωνίῳ ἀναφέρειν. Πόθεν ἐκεῖ τὸ κλυδώνιον, ὑποκοριστικὸν ὄν; Τί δὲ ὁ Δίων; ΜΑ. 46: ὁ κλύδων δεινῶς σφας ἐξετάραττεν. ΝΒ. 16: ἐν κλύδωνι πολλῷ φερομένη σαλεύει. ΞΕ. 16: ἄνω κάτω ἐφέρετο ὥσπερ ἐν κλύδωνι. Ὡσαύτως δὲ καὶ ὁ Φώτιος ἐν Λεξικῷ παράγων τὸ τοῦ Θουκυδίδου χωρίον γράφει κλύδωνι καὶ οὐ κλυδωνίῳ. Ἀπερισκέπτως ἀπέρριψα τὴν λέξιν ἐν τῇ ἐκδόσει, τὸ γὰρ ἄμεινον φανερόν.

Διστάζουσι περὶ τῆς παρὰ τῷ Θουκυδίδῃ γραφῆς Η. 96: ἄδηλον ὂν ὁπότε σφίσιν αὐτοῖς ξυρράξουσι. Ἀλλὰ μὴν ὀρθότατόν ἐστι τὸ ξυρράξουσιν· ἰδὲ τὸν Δίωνα ΟΔ. 7: κατὰ πρόσωπόν φησιν αὐτοῖς συνέρραξαν. Καὶ μὴν αὐτὸς ὁ Δίων ὅταν λέγῃ ΟΓ. 15: προγνοὺς ὅτι καὶ σφίσιν αὐτοῖς οἱ τρεῖς συναράξουσι, πότερον ἀποδεξόμεθα ταύτην τὴν γραφὴν ἢ μεταποιήσομεν εἰς τὸ ξυρράξουσι; Ἐγὼ μὲν οἶμαι, σὺ δ᾽, ὦ λογιώτατε Κόντε, αὐτὸς σκόπει τί σοι δοκεῖ περὶ τούτου.

Βελτίστη μὲν καὶ χρησιμωτάτη ἡ τοῦ Δίωνος ἔκδοσις, ἣν ὁ Διν-δόρφιος κατεσκεύασεν, ὅμως δὲ πολλὰ εὖ καὶ δεξιῶς διορθώσας, οὐκ ὀλίγα κατέλιπε τοῖς μετὰ τὸν θερισμὸν ἀνακαλαμωμένοις τὰ περίλοιπα. Οὐδέν ἐστιν οἷον προφέρειν εἰς τὸ μέσον ἐκ πολλῶν παραδειγμάτων καὶ πλείστων γε τὰ μάλιστα περιφανῆ.

Οὐκ ἀποδέχομαι τὸ περὶ τοῦ Ταρκυνίου λεγόμενον πολιτῶν τινας σταυροῖς γυμνοὺς προσδήσαντος, ὅτι τοῦθ᾽ ὑπ᾽ ἐκείνου τότε ἐξευρεθὲν καὶ πολλάκις ἐγένετο. Ἀλλ᾽ οὐχ εὕρημα τόδε, ὕβρις δ᾽ οὐκ ἀνάσχετος. Ἔγραφεν ἄρα ὁ Δίων τομ. ά σελ. 14: τὸ τῷ Θουκυδίδῃ ἐν χρήσει ἐξυβρισθὲν καὶ οὐκ ἐξευρεθέν.

Μετ᾽ οὐ πολὺ λέγεται περὶ τοῦ Βρούτου ὅτι μυρίαν προσεποιήσατο, εἴ πως αὐτός γε περιγένοιτο. Οὐ σπάνιόν ἐςι τὸ καὶ νῦν διημαρτημένον· γραπτέον γάρ· εἴ πως οὕτω γε περιγένοιτο.

Διημάρτηται ἡ λέξις τομ. ά σελ. 21: ἐνταῦθα ὁ Δίων λέγει ὅτι κρεουργηδὸν τὸ τοῦ ὑπερημέρου σῶμα οἱ δεδανεικότες πρὸς τὸ μέρος ὧν ὤφειλεν ἐξουσίαν εἶχον κατανέμεσθαι. Βδελυρὸν τοῦτό γε· οὐδὲν ἐπέτρεψεν ὁ νόμος πέρα τοῦ κατατέμνεσθαι.

Οὐχ ἅπαξ ἐσφάλη ὁ Μάϊος ἐν τῷ ἀποσπασματίῳ, ὃ παρὰ τῷ Δινδορφίῳ εὑρίσκεται σελ. 24. Ἱςορεῖ ὁ Δίων ὅτι ὁ Μάρκιος ὁ Κοριολανὸς ςρατηγῆσαι θελήσας καὶ μὴ τελεσθεὶς ἠγανάκτησε τῷ ὁμίλῳ. Οὐ διαγιγνώσκων τὴν τοῦ ἀντιγράφου λέξιν ἀμυδρὰν οὖσαν ὑπὸ παλαιότητος ἢ καὶ ὑπὸ τῶν φαρμάκων, ἔγραφε τὸ ἐπελθόν· οὐ γὰρ εἰκὸς, ὡς ἐμοὶ δοκεῖ, ἐν αὐτῷ τῷ ἀντιγράφῳ διεφθάρθαι τὸ χωρίον, περιφανέςατον ὄν. Ἓν μόνον ἐςὶ ῥῆμα ᾧ τις ἂν ἐν τοιούτῳ τινὶ χρῷτο· ἀπόβαλλε οὖν τὸ μὴ τελεσθεὶς καὶ εὐθὺς μετάγραψον· ἡττηθεὶς ἠγανάκτησε. Παραπλήσιόν ἐςι τὸ σφάλμα ἐν τούτοις· Νάρβης πόλεως ἀποικίζεσθαι βουλομένης. Γελοῖόν ἐςι τοῦτο καὶ ὀρθῶς ἔχει τὸ διδομένης ἀντὶ τοῦ βουλομένης. Εἶτα κατηγοροῦσι τοῦ Μαρκίου οἱ δήμαρχοι, τῶν δυνατῶν βοώντων καὶ δεινὸν ποιούντων, ὅτι καὶ περὶ σφῶν τὰ τοιαῦτα κρίνειν ἐτόλμων. Ἀλλ᾽ οὐκ ἔδεισάν πω τὰ παρόντα, ὑφεωρῶντο δὲ τὰ μέλλοντα γενήσεσθαι· οὐδ᾽ ἄρα ἔγραψεν ὁ Δίων ἐτόλμων ἀλλ᾽ ἔμελλον. Ἔτι δὲ καὶ τόδε ὅρα, ὅτι τὰ τοῦ Μαΐου σφάλματα, πλεῖςα ὄντα, οὐδ᾽ ὅμοια οὐδὲ παραπλήσιά ἐςιν τοῖς τῶν παλαιῶν ἀντιγραφέων. Καὶ συχνῶς τοῦτ᾽ ἐςιν ἰδεῖν καὶ δὴ καὶ ἐν τοῖς Φρόντωνος ἐπιςολαῖς, ὧν ἡ ἔκδοσις ἐκπεπόνηταί μοι. Φέρ᾽ ἴδωμεν ὁδοῦ πάρεργον τοῦτ᾽ ἐκ τοῦ Φρόντωνος ἐρωτικοῦ λόγου. Διηγεῖται ὁ συγγραφεὺς ὅτι τῶν ἀνθῶν ἐςί τι ὃ δὴ τοῦ ἡλίου ἐρᾷ καὶ πάσχει τὰ τῶν ἐρώντων, ἀνατέλλοντος ἐπαιρόμενον καὶ πορευομένου καταςρεφόμενον. Εἶτα ἐπάγει: ἀλλά γ᾽ ἐν γῇ πεσὸν ἀπόλλυσι οὐδὲ εὐμενεςέρου πειρᾶται διὰ τὸν ἔρωτα τοῦ ἡλίου. Ὅτι μὲν ἔψευςαι ἡ λέξις φανερὸν, τὸ δὲ διορθῶσαι πάνυ δυσχερὲς μὴ βοηθὸν ἔχοντα τὸ παλαιὸν βιβλίον. Ὁ δὲ Ῥιεῦιος ὁ ἐμὸς, ὁ τὸν Φρόντωνα μετὰ πλείςης ἀκριβείας ἀνταναγνοὺς, τί ἑόρακεν ἐν τῷ παλιμψήςῳ, καίπερ δυσαναγνώςῳ ὄντι; ΑΛΛΟΤΔΕΝΓΕΠΛΕΟΝ· τουτέςιν οἶμαι ἀλλ᾽ οὐδέν γε πλέον ἀπόλλυσι. Καὶ τοῦτο μὲν σαφές, μόνον δὲ θαυμάζω τὸ ἀπόλλυσι ἀντὶ τοῦ ἀπόλλυται. Ἰδὲ δὲ καὶ τόδε ἐξ ἐπιςολῆς παρὰ Φρόν-

τωνος Ἀππιανῷ γεγραμμένης, ἧς ἡ ἀρχὴ ἥδε: Οὐκ ἂν ἀ π ο ρ η-σ ό μ ε ν ο ς δὲ ἐκεῖνος πιθανῶν λόγων ὃς.... ἐνίςατο κτέ. Ὁ Μάϊος ἀντιλέγων τῷ Νιεβουρίῳ διορθώσαντι τὸ χωρίον, διαρρήδην λέγει οὕτως ἀνεγνωκέναι ἐν τῷ ἀντιγράφῳ. Ὁ δὲ Ῥιεῦϊος πολλῷ ἀκριβέςερον· οὐ ἀ π ο ρ η σ ε ί μ ε ν ο ς δὲ ἐκεῖνος· ὅθεν ὁ τυχὼν εὑρήσει τὸ ἀληθές· οὐκ ἀ π ο ρ ή σ ε ι μ ὲ ν ο ὐ δ' ἐκεῖνος πιθανῶν λόγων κτέ. Προσγράψω δὲ καὶ τόδε· ἐν τῇ αὐτῇ ἐπιςολῇ ὁ Φρόντων οὕτω πω γράφει· π ῶ ς δ έ π ο τ ε ἐκ διαθηκῶν καὶ τὰ μεγάλα λαμβάνοντες, παρὰ τῶν ζώντων τ' α ὐ τ ῶ ν τ α ῦ τ α οὐ προσησόμεθα. Δὶς ἐν τούτοις σφάλλεται ὁ Μάϊος· πρῶτον μὲν λέγει γεγράφθαι ἐν τἀντιγράφῳ π ᾶ ς δ έ π ο τ ε, εἶτα διορθοῖ πῶς δέποτε· ἀλλὰ καὶ νῦν τῶν γραμμάτων σφόδρα ἀμυδρωθέντων διὰ τὰ φάρμακα, ὅμως ἔξεςι σαφῶς διαγνῶναι ΤΙΔΕΠΟΤΕ, τουτέςι τ ί δ ή π ο τ ε. Ἔπειτα δὲ ὁ Μάϊος λέγει εὑρηκέναι ἐν τῷ βιβλίῳ ταυτῳ αυτα, ὃ ἐν τῷ κειμένῳ γράφει· τά τ' αὐτῶν ταῦτα, ὅπερ οὐδεὶς ἂν ἀποδέξαιτο. Ἀλλὰ καλῶς ὁ Ῥιεῦϊος γράφει ἠμυδρῶσθαι τέτταρα γράμματα, μετὰ δ' ἐκεῖνα ἑορακέναι τάδε· ΚΑΤΤΑ. Νῦν ἄρα ῥᾴδιον εὑρεῖν τὸ ἀληθές, ἐπεὶ ὁ Φρόντων ἔγραφεν· τ ί δ ή π ο τ ε — παρὰ τῶν ζώντων τὰ τ η λ ι κ α ῦ τ α οὐ προσησόμεθα; Νῦν δὲ ἐπανιτέον ἐπὶ τὸν Δίωνα.

Περὶ τῆς Ῥούφου γυναικὸς τοῦ χιλιάρχου διηγεῖται ὁ Δίων σελ. 39 τὸ θρυλούμενον ἐκεῖνο, ὡς ἐξεταράχθη τοῦ ῥαβδούχου κόπτοντος τὴν θύραν· γέλωτος οὖν ἐπ' αὐτῇ σ υ χ ν ο ῦ καὶ παρὰ τῆς ἀδελφῆς καὶ παρὰ τῶν ἄλλων γενομένου, δεινὸν ἐποιήσατο. Ἀλλὰ τόδε οὐδεὶς ἂν πεισθείη ὅτι συχνὸς ἐγένετο γέλως ἐπ' αἰτίᾳ σμικρᾷ καὶ τῇ τυχούσῃ. Ἐγὼ δ' οἶμαι γραπτέον εἶναι· γέλωτος — ἰ σ χ υ ρ ο ῦ — γενομένου.

Ἥχθοντο οἱ Ῥωμαῖοι τῷ Τορκουάτῳ οὕτως ὥςε καὶ τὰ.... τατα τῶν ἔργων μαλλιανὰ ἀπ' αὐτοῦ ὀνομάσαι. Ὅ τι λείπει, εὑρηκέναι μοι δοκῶ: καὶ τὰ ἰ τ α μ ώ τ α τ α τῶν ἔργων. Γράψαντες οὕτω κατὰ τὸ παλαιὸν ἔθος ΚΑΙΤΑΙΤΑΜΩΤΑΤΑ, οὐ θαυμασόμεθα τὸν Μάϊον οὐ διευκρινῆσαι τὸ χωρίον.

Οἱ Ῥωμαῖοι κατὰ τὸν Δίωνα σελ. 47: βούλονται μὲν καὶ μάλα πολέμῳ κρατιςεύειν, προσέτι δὲ δὴ καὶ ἀρετὴν τιμῶσι καὶ διὰ τοῦτο ἐν ἀμφοτέροις ἠ ν α γ κ α σ μ έ ν ο ι τῇ τῆς ψυχῆς γενναιότητι καὶ τὸ κρατεῖν ἐπικερδαίνουσι. Καὶ τὸ ἠ ν α γ κ α σ μ έ ν ο ι ἐςὶ τῆς Μαΐου μούσης. Τὸν δὲ Δίωνα τί ποτ' οἴει γεγραφέναι; Ἢ δῆλον ὅτι ἐ γ γ ε γ υ μ ν α σ μ έ ν ο ι, τοῦτο γὰρ μόνον ἁρμόττει.

Κατὰ ταὐτὸ ὑπὸ τοῦ Μαΐου διέφθαρται τάδε· μὴ γὰρ καταιτιώμεθα τῶν ἀντιγραφέων ἀναιτίων ὄντων· Πόπλιος Οὐαλέριος ἄνδρας ἐπὶ κατασκοπὴν πρὸς τοῦ Πύρρου σταλέντας ἐχειρώσατο, σελ. 60. Ἀλλ' οὐ λέγει τοῦτο ὁ συγγραφεύς, ἀλλ' ὅτι ὁ Ῥωμαίων ϛρατηγὸς φιλοφρόνως ἐδέξατο τοὺς ἄνδρας. Οὐκ ἔϛι χαλεπὸν εὑρεῖν αὐτὸ τὸ τοῦ Δίωνος· γραπτέον γὰρ ἐδεξιώσατο.

Ἐν τῷ Φαβρικίου πρὸς τὸν Πύρρον λόγῳ περικαλλεϛάτῳ νὴ Δία καὶ σφόδρα κεκαλλιεπημένῳ, ὁ Ῥωμαῖος οὕτω πως λέγει σελ. 66: αἱρετώτερόν ἐϛι τῇ τοῦ θείου πλεονεξίᾳ μᾶλλον ἢ τῇ ἑαυτοῦ κακίᾳ σφαλῆναι. Ἀλλ', ὦ πανοσιώτατε ἱερεῦ, δυσσεβεϛάτη ἐϛὶν αὕτη ἡ ῥῆσις ἀνδρὸς εὐσεβεϛάτου, τὸ γὰρ θεῖον οὐ πλεονεκτεῖ, πολλοῦ γε καὶ δεῖ. Ἀλλὰ λεκτέον τῇ τοῦ ὀθνείου πλεονεξίᾳ· καὶ τίς ἂν διϛάσειεν; Ὅμως παραγράψω τὸ τῷ Δίωνι μετὰ ταῦτα σελ. 84: περὶ τοῦ Ἀννίβα εἰρημένον· πολεμεῖν πᾶν τὸ πλεονεκτεῖν δυνάμενον καὶ ἐν τοῖς ὀθνείοις καὶ ἐν τοῖς ὁμοφύλοις ὁμοίως ἡγούμενος.

Διττῶς ἔσφαλται ἐν τοῖσδε σελ. 95: τὰ τῶν Ἰβήρων ἐκεκίνητο τά τε τῶν συμμάχων αὐτοῦ ἠλλοτριοῦτο, γραπτέον γὰρ ἠλλοτρίωτο. Εἶτ' ἐπάγει ὁ Δίων· καὶ εἴ γε καὶ τὸ βραχύτατον ὑπεσχήκεσαν, ἀπόνως ἐκράτησαν ἄν. Ὅ τι δὲ λεκτέον ἐϛὶ, τὸ γὰρ ὑπεσχήκεσαν οὐδαμῶς ὀρθόν, δείξει ὁ Θουκυδίδης Δ. 54: μάχης γενομένης ὀλίγον μέν τινα χρόνον ὑπέϛησαν οἱ Κυθήριοι, ἔπειτα τραπόμενοι κατέφυγον. Ὁ δὲ Δίων παραχρῆμα ἀποδώσει τὴν χάριν· ὃ γὰρ λέγεται ἐν τῷ αὐτῷ τοῦ Θουκυδίδου κεφαλαίῳ· πανταχόθεν σφᾶς περιεϛῶτος πολέμου ταχέος καὶ ἀπροφυλάκτου, ἐνταῦθα εἰ ἀγνοεῖς τί δήποτε βούλεται λέγειν ταχὺς πόλεμος, παραβάλλωμεν τὸν Δίωνα Λϛ. 6: συνεχῆ καὶ ἀπροφύλακτον πόλεμον. Φανερῶς δὴ ὁ Θουκυδίδης ἔγραφε συνεχοῦς.

Γράφει ὁ Δίων σελ. 109 περὶ τῶν Καρχηδονίων ὅτι τῶν ἐπιταχθέντων σφίσιν ὑπὸ τοῦ Σκιπίωνος οὐδὲν ὅ τι οὐχ ὑπέσχοντο οἷα μηδὲν αὐτῷ παρέξειν μέλλοντες. Οὐκ ἔϛι τοῦτο καλῶς εἰρημένον, ἄλλως τε καὶ τοῦ συγγραφέως ἱϛοροῦντος εὐθὺς μετὰ ταῦτα ὅτι χρήματα ἔδωκαν αὐτῷ· ταῦτα γοῦν παρεῖχον οἱ οὐδὲν παρέξοντες δή· οὐ χαλεπόν ἐϛιν εὑρεῖν τὸ ἀληθές· ἔγραψε γάρ: οἷα μηδὲν αὐτῶν πράξειν μέλλοντες.

Ἐπισκεπτέον καὶ τόδε σελ. 110: ὁ Μασινίσσας ἐπεδίωκεν ἀκρατῶς τῇ τοῦ ἵππου ῥύμῃ ὑπενδιδούς. Παραβλητέα καὶ τάδε· σελ. 84: ἱππεύειν ἀνὰ κράτος ἀσφαλῶς ἐδύνατο. Σελ. 107: ἀνὰ κράτος ἐπιστρεφομένων. ΛΖ. 4: ἀνὰ κράτος ἐπεδίωξε

ΞΒ. 12: ἐπέδραμον αὐτοῖς ἀνὰ κράτος. Φαίνεται οὖν μεταγραπτέον εἶναι ἀντὶ τοῦ ἀκρατῶς ἀνὰ κράτος, ἀλλ' οὔπω ...ιν τὸ ἀκριβέστατον. Σκόπει τὰ τοῦ Φρυνίχου παρὰ Βεκκήρῳ σελ. 337, 27: Ἀγκράτος ἐλαύνω· εἶπε Ξενοφῶν κατὰ συγκοπήν, ἀντὶ τοῦ ἀνὰ κράτος· σὺ δ' ἄμεινον ποιήσεις μὴ χρώμενος τῇ λέξει. Καὶ δὴ ὑπήκουσεν, ὡς ὁρᾷς, ὁ Δίων. Ἀλλὰ νῦν μοι ἐπίσκεψαι ἐκ τοῦ αὐτοῦ λεξικοῦ τάδε, σελ. 329, 15, ἐκ τοῦ Αἰλίου Διονυσίου δηλονότι, ἐξ οὗ ὁ Φρύνιχος πάμπολλα μεταγέγραφεν· Ἀκρατῶς ἐλαύνοντα. Ξενοφῶν, ἀντὶ τοῦ πάνυ ἐλαύνοντα. Ἔγραφεν ἄρα ὁ Αἴλιος Διονύσιος Ἀγκράτος ἐλαύνοντα· ἀλλ' ἐπεὶ καὶ τοῦτο τὸ ἀκρατῶς ἅπαξ εὕρομεν παρὰ τῷ Δίωνι, ὁ ἀντιγραφεὺς ὡσαύτως σφαλλόμενος ὑποδεικνύναι μοι δοκεῖ, ἐνταῦθά γε τὸν Δίωνα ἀμελήσαντα τοῦ Φρυνίχου ὀρθῶς παραινοῦντος γεγραφέναι αὐτὸ τοῦτο τὸ ἀγκράτος, τὰ δὲ ἄλλα χωρία οὐκ ἂν μεταποιήσαιμι. Περὶ τοῦ Ξενοφῶντος οἶσθα ὅ τι ὁ Κόβητος λέγει Μνημ. Γ'. 66.

Σφάλμα ἔνεστιν οὐ μέγα ἐν τοῖσδε, σελ. 115: ἐφοβήθη μὴ ὁ Ἀντίοχος ἐς τὴν Εὐρώπην, ὥσπερ ἠγγέλλετο, ἔλθῃ· λεκτέον γὰρ ἤγγελτο. Ἐν τοῖς τοιούτοις συχνῶς προσπταίουσιν οἱ τοῦ Δίωνος ἀντιγραφῆς, ἀλλ' οὔ μοί ἐστι σχολὴ τὰ πάντα καταλέγειν. Προσθήσω δ' ἔτι ἓν μόνον· σελ. 42: εἰ καὶ τῶν Λατίνων ἡγεῖτο, πάντως ἂν αὐτοὺς νικῆσαι ἐποίησεν. Γραπτέον δή· ἥγητο.

Κατὰ τὸν Μάϊον οἱ Καρχηδόνιοι πολεμούμενοι παρὰ Ῥωμαίων ὅπλα τε καὶ τριήρεις δι' ἐλαχίστου ἐποιήσαντο. Ἐμαίνοντο ἄρα οἱ Καρχηδόνιοι, εἰ δὲ μὴ πιθανὸν τοῦτο, εὐθὺς μεταγράφωμεν ἐπορίσαντο.

Περὶ τοῦ Οὐριάθου γράφει ὁ Δίων σελ. 123: πάντων τῶν ἀναγκαίων ἐκ τῶν ἀεὶ παρόντων ὡς καὶ ἀρίστων ἀπολαύων ἱκανώτατα. Ἀλλὰ δῆλον ὅτι γραπτέον· ἀπολαύειν ἱκανώτατος.

Διέφθαρται καὶ τόδε σελ. 139: ἐπεὶ τὸ χωρίον ἐν ᾧ συνειλέχατο ἐγεγεώργητο καὶ δίυγρον κατὰ τύχην ἦν. Ἔγραψεν ὁ Δίων ὥσπερ εἰκός· ἐγεωργεῖτο. Καὶ πολλάκις εὑρισκομένων τῶν παρατατικῶν ἀντὶ τῶν ὑπερσυντελικῶν ὡς ἀνωτέρω εἴρηταί μοι, τὸ ἐναντίον ἐστὶ πολλῷ σπανιώτερον.

Σκόπει δὲ καὶ τόδε σελ. 141: ὥστε μηδὲ τοὺς βουλευτὰς τὴν εἰρήνην ἔτι τὴν πρὸς αὐτοὺς ἐπὶ τούτοις ἑλέσθαι. Γραπτέον οἶμαι δέχεσθαι.

Οὐδεὶς ἂν ἔχοι λέγειν τί ἐςι τοῦτο σελ. 142: θυόντων τῶν Ῥωμαίων ἱςαμένου τοῦ ἔτους τὰ ἐσιτήρια καὶ τῇ ἡγεμονίᾳ τὰς ἀρχὰς κατὰ τὰ πάτρια ποιουμένων. Ἀλλὰ τί μέλλομεν μεταγράφειν τὰς εὐχὰς ἀντὶ τοῦ τὰς ἀρχάς; Καὶ τοῦτο οὐκ ἄδηλον τίνα οἱ Ῥωμαῖοι εὔχεσθαι εἰώθεσαν τότε.

Ἀξύνετα τάδε σελ. 151: τῷ Σύλλᾳ πόθος εἰσῄει καὶ ἐν τῇ πολυτροπίᾳ τῶν φόνων πολὺ πάντων περιεῖναι, ὥσπερ τινὰ ἀρετὴν οὖσαν τὸ μηδὲ ἐν ταῖς μιαιφονίαις τινὸς ἡττᾶσθαι τινὰ καινότητα ἐξέθηκε λελευκωμένον πίνακα. Δοκῶ μοι ὅμως εὑρηκέναι τὴν γνησίαν γραφήν· μηδὲ ἐν ταῖς μιαιφονίαις τινὸς ἡττᾶσθαί τινα καινοτομοῦντα.

Καὶ τοῦτο γελοῖον τὸ ἐρώτημα σελ. 154: τίς μὲν γὰρ οὐκ ἂν ἕλοιτο ἀπὸ μιᾶς πληγῆς, καὶ ταύτης μηδὲν ἢ βραχύτατόν τι λυπησάσης ἀποθανεῖν μᾶλλον ἢ νοσήσας; Ἀλλὰ πάντες τοῦτ' ἂν ἕλοιντο καὶ ἐςὶν ὑπόμωρος ὁ τοιαῦτα ἐρωτῶν. Ὁ δὲ Δίων ἄλλο τι γέγραφε, δῆλον ὅτι λυπησούσης· καὶ τοῦτ' ἐμοὶ δοκεῖν πάμπολυ διαφέρει. Προσθήσω ἓν μόνον ἐκ τῶν Μαΐου παροραμάτων· λέγει ὁ Δίων εὐθὺς μετ' ἐκεῖνα· κτήσασθαι γὰρ ἰδίῳ θανάτῳ τὴν δημοσίαν εὔνοιαν καλόν. Ἀλλ' οὐδὲν ὠφελεῖ ἀποθανόντα εὔνου τοῦ δήμου τυγχάνειν, τὸ δὲ κτήσασθαι τὴν δημοσίαν εὔκλειαν καλόν.

Καὶ ταῦτα μὲν ἐκ τῶν ἀποσπασματίων, τὰ δὲ μετὰ ταῦτα ἤδη ἐκ τῶν σωζομένων βιβλίων.

Ἱςορεῖ ὁ Δίων ΛΕ. 4: ὅτι Κύϊντος Μάρκιος μόνος ὑπάτευσεν, ὅ τε γὰρ σὺν αὐτῷ χειροτονηθεὶς ἐν ἀρχῇ τοῦ ἔτους ἀπέθανε καὶ ὁ αφιτρωθεὶς πρὶν ἐπιβῆναι τῆς ἀρχῆς μετήλλαξε. Διὰ τί ὁ Δινδόρφιος ἐνταῦθα οὐ παρέλαβε τὸ ὑπὸ Ῥειμάρου ἤδη εὑρεθὲν ἀνθαιρεθεὶς ἀντὶ τοῦ αφιτρωθεὶς; Ἀλλ' ἴσως διὰ τὸ πλεῖςον ἀπέχειν τὴν γνησίαν γραφὴν ἀπὸ τῆς διεφθαρμένης. Καίτοι πολλάκις γ' ἔςιν ἰδεῖν παρὰ τῷ Δίωνι τοὺς ἀντιγραφέας μηδὲν διευκρινοῦντας τῶν ἐν τῷ ἀρχετύπῳ ἀναγιγνωσκομένων γράψαντας τὸ ἐπελθόν. Τότε γε μὴν ἐκ τῶν συμφραζομένων δεῖ ἀναζητεῖν τἀληθὲς κᾆτα μηδεὶς ἐρωτάτω ὁπόθεν διέφθαρται τὸ χωρίον, οἱ γὰρ μάλις' ἀκριβοῦντες τὴν παλαιὰν γραφὴν οὔ ποτ' ἂν φαῖεν, πῶς ἐκ τοῦ ἀνθαιρεθεὶς ἐγένετο τὸ ἀφιτρωθεὶς. Ἔχοιμ' ἂν ἔτι πολλῷ πλείονα παραπλήσια παρασχεῖν· νῦν δ' ἐξαρκέσει ἓν παράδειγμα, περιφανέςατον ὄν. Γράφει που ὁ Δίων ΝΘ. 9: οἱ ὅρκοι περὶ μὲν τῶν ὑπὸ τοῦ Τιβερίου πραχθέντων οὐκ ἐπήχθησαν καὶ

διὰ τοῦτο οὐδὲ νῦν γίγνονται· οὐ γάρ ἐςιν ὅςις αὐτὸν ἐν τοῖς αὐταρχήσασιν ἐς τὴν τῆς οἰκίας νόμισιν καταλέγει. Κἀνταῦθα τοῦ ἀρχετύπου ἀμυδροῦ καὶ σαπροῦ γενομένου ὑπὸ παλαιότητος, οἱ ἀντιγραφῆς ὀλίγα ἔτι διευκρινοῦντες ἔγραψαν ὀνόματα Ἑλληνικὰ μὲν, παντελῶς δ' ἀξύνετα καὶ οὐδὲν προσήκοντα. Τὸ δ' ἀληθὲς ἔτι καὶ νῦν διαγιγνώσκεται· τίς γὰρ ἂν οὐκ ἀποδέχοιτο: ἐς τὴν ὁρκωμοσίαν; Τἄλλα δὲ δείξω προϊόντος τοῦ λόγου.

Μετὰ ταῦτα διηγεῖται ὁ Δίων καὶ περὶ τῆς Νισίβιος ὑπὸ Λουκούλλου πολιορκίας, ἐν οἷς ἐςὶ καὶ τάδε ΛΕ. 7: ἐτήρησε νύκτα ἀσέληνον καὶ ὑετῷ λάβρῳ βρονταῖς τε χειμέριον. Μετέγραψε ταῦτα ἐκ τοῦ Θουκυδίδου οὕτω λέγοντος περὶ τῆς τῶν Πλαταιῶν πολιορκίας Γ. 22: τηρήσαντες νύκτα χειμερινὸν ὕδατι καὶ ἀνέμῳ καὶ ἅμα ἀσέληνον ἐξῆσαν. Ὁρᾷς ὅτι ὁ μὲν Δίων γράφει χειμέριον, ὁ δὲ Θουκυδίδης χειμερινόν· ζητεῖται δὲ τὸ ὀρθότερον. Ἀλλὰ τοῦτο πρόδηλον· τὸ μὲν γὰρ τοῦ χειμῶνος γιγνόμενον παντάπασιν ἂν καλοῖτο χειμερινόν, τὸ δὲ χειμέριον γένοιτο ἂν ἀνὰ πάσας τὰς ὥρας τοῦ ἔτους· καὶ ὁ μὲν χειμὼν οὐκ ἀεὶ χειμέριος, ἀλλ' εὔδια ἂν εἴη εἰ οὕτω τύχοι· ἡ δὲ Θρᾴκη ἀεὶ χειμερία. Καὶ τὸ ἀποτόλμημα τὸ τῶν Πλαταιῶν ἔξοδον ποιουμένων ἐγένετο μὲν χειμῶνος ὥρᾳ, ἀλλ' οὐδὲν μέγα συνεβάλετο τοῦτό γε, ἀλλ' ὅτι ἡ νὺξ χειμέριος ἦν. Εἰ δὲ καὶ μάλιςα θάτερον εἵλετο ὁ συγγραφεὺς, οὐκ ἂν δήπου ἔγραψε χειμερινὸν ἀλλὰ χειμερινήν. Δῆλον οὖν ὅτι ἐκ τοῦ Δίωνος παρὰ τῷ Θουκυδίδῃ παραληπτέον τὸ χειμέριον.

Πολλῶν ἐν τοῖς Θουκυδίδου ἀντιγράφοις παρεμβλημάτων ἐνόντων, πλεῖςα εὑρηκέναι μοι δοκῶ ἐν τῇ περὶ τῶν Πλαταιῶν διηγήσει· οὐδὲν δὲ κωλύει ὁδοῦ πάρεργον καὶ ταῦτα καταλέγειν.

Τὸ τῶν Πελοποννησίων τεῖχος εἶχε μὲν δύο περιβόλους, διεῖχον δὲ οἱ περίβολοι ἑκκαίδεκα πόδας μάλιςα ἀπ' ἀλλήλων· τὸ δ' οὖν μεταξὺ τοῦτο, οἱ ἑκκαίδεκα πόδες, τοῖς φύλαξιν οἰκήματα διανενεμημένα ᾠκοδόμητο. Ἀλλ' ἔμοιγε φανερὸν ὅτι ἀποβλητέον τὸ οἱ ἑκκαίδεκα πόδες. Πῶς γὰρ συνάπτειν δεῖ ταῦτα; οὐ γὰρ οἱ πόδες ᾠκοδόμηντο, ὡς ἐγῷμαι. Εἶτα μετὰ ταῦτα ἐπάγει ὁ συγγραφεύς· διὰ δέκα δὲ ἐπάλξεων πύργοι ἦσαν μεγάλοι καὶ ἰσοπλατεῖς τῷ τείχει, διήκοντες ἔς τε τὸ ἔσω μέτωπον καὶ οἱ αὐτοὶ καὶ ἐς τὸ ἔξω, ὥςε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν μέσων διῇσαν. Πάνυ καλῶς συνίημι: διήκοντες ἔς τε τὸ ἔσω μέτωπον καὶ ἐς τὸ ἔξω, ἀλλὰ τίς ἂν

ἀγνοήσειεν ὅτι ὁ συγγραφεὺς ἀεὶ περὶ τῶν αὐτῶν πύργων λέγει καὶ οὐ περὶ ἑτέρων τινῶν; Σχολαςικὸς ἄρ' ἐγένετο ὁ προσγράψας· καὶ οἱ αὐτοί. Ἀλλ' οὐδὲ τόδε τοῦ Θουκυδίδου τὸ παρὰ πύργον· εἰ γὰρ καὶ μάλιςα προσέγραψεν οὐδὲν δέον, ἔγραψεν ἂν παρὰ πύργους. Εἶτα μετ' οὐ πολλὰ λέγει ὁ συγγραφεύς· κατὰ μεταπύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες ὅτι ἔρημοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας φέροντες καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον, ὧν ἡγεῖτο Ἀμμίας ὁ Κοροίβου καὶ πρῶτος ἀνέβη, μετὰ δ' αὐτὸν οἱ ἑπόμενοι ἓξ ἐφ' ἑκάτερον τῶν πύργων ἀνέβαινον. Ἀλλ' ἀπρεπῶς πάνυ πρόσκειται τὸ ἀνέβαινον καὶ μετὰ δ' αὐτὸν οἱ ἑπόμενοι· διάγραψον οὖν καὶ ταῦτα. Ἀλλ' οὔπω πᾶν ἐθεραπεύσαμεν· παρενθετέον γάρ· ὧν ἡγεῖτο Α. ὁ Κ. ὃς καὶ πρῶτος ἀνέβη. Ἐςὶν ἐν τοῖς ἑξῆς καὶ ἄλλα περὶ ὧν ἄν τις εἰκότως διςάσειε καὶ δὴ καὶ τάδε. Ἐν κεφ. κβ' οἱ Πλαταιῆς φεύγοντες ὥρμων τὴν ἐς Θήβας φέρουσαν ὁδόν, νομίζοντες ἥκιςα σφᾶς ταύτην αὐτοὺς ὑποτοπῆσαι τραπέσθαι τὴν ἐς τοὺς πολεμίους. Ἀλλὰ πρῶτον μὲν γραπτέον ἥκις' ἄν, ἔπειτα δὲ ἆρά σοι δοκεῖ ὁ Θουκυδίδης προσθεῖναι; τὴν ἐς τοὺς πολεμίους; Ἐμοὶ γὰρ οὐδαμῶς οὕτω δοκεῖ. Καὶ κατὰ τὸν αὐτὸν λόγον τάδε διαγραπτέα· καὶ ἅμα ἑώρων τοὺς Πελοποννησίους τὴν πρὸς Κιθαιρῶνα καὶ Δρυὸς κεφαλὰς τὴν ἐπ' Ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας· καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ ςαδίους οἱ Πλαταιῆς τὴν ἐπὶ τῶν Θηβῶν ἐχώρησαν, ἔπειθ' ὑποςρέψαντες κἑξ. Καὶ τίς οὐκ ἂν λέγοι τοῦ αὐτοῦ γραμματικοῦ εἶναι ταῦτα τὰ τρία τὴν ἐς τοὺς πολεμίους καὶ τὴν ἐπ' Ἀθηνῶν φέρουσαν καὶ τὴν ἐπὶ τῶν Θηβῶν; Τὸ δὲ ἐναντίον λείπει τι ἐν τούτοις· διαφεύγουσιν ἐς τὰς Ἀθήνας ἄνδρες δώδεκα καὶ διακόσιοι ἀπὸ πλειόνων. Τὰ ἑξῆς δηλοῖ γραπτέον εἶναι ἀπ' ὀλίγῳ πλειόνων. Ἀλλὰ νῦν ἐπανιτέον ἐπὶ τὸν Δίωνα.

Ἄξιον γὰρ ἐπισκέψασθαι καὶ τόδε. Ὁ συγγραφεὺς διηγούμενος τὰς παλαιὰς τῶν Ῥωμαίων ἱςορίας, πολλάκις ἡμῖν χρήσιμός ἐςιν εἰς τὸ γνῶναι τοὺς χρόνους καθ' οὓς αὐτὰς ἐβίω. Κἂν πολλοῖς τοῦτ' ἀποδεῖξαι ἔχων νῦν προσγράψω τρία παραδείγματα. Ὁ Δίων λέγων περὶ τῶν καταποντιςῶν καὶ τῶν λῃςῶν Λς. 3 οὐ γὰρ ἔςι, φησίν, ὅτε ταῦτ' οὐκ ἐγένετο, οὐδ' ἂν παύσαιτό ποτε ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ. Τὰ μὲν τελευταῖα ταῦτα ἐκ τοῦ Θουκυδίδου Γ. 82, τοῦτο δὲ οὐ νῦν λέγω ἀλλ' ὅτι οὐδεὶς ἂν οὕτως εἴποι, εἰ μὴ ἴδοι τοὺς κακούργους ἑορτὴν ἄγοντας. Ὀλίγον

ἔμπροσθεν δηλώσων ὁ συγγραφεὺς διὰ τί ὁ Λεύκουλλος οὐκ ἐδύνατο ἄρχειν τῶν συϛρατευομένων, ἄλλα τε αἰτιᾶται καὶ δὴ καὶ ὅτι οὐκ ἠπίϛατο οὔτε τιμαῖς οὔτε χρημάτων μεταδόσει προσεταιρίσασθαί τινα, ὧν πάντων ἄλλως τε καὶ πλήθει καὶ μάλιϛα ϛρατευομένῳ δεῖ. Ἀλλὰ τοῦτο δηλοῖ ὅτι οἱ ϛρατηγοὶ οἱ κατὰ τὸν Σεπτίμιον καὶ τοὺς τότε βασιλέας, ἀεί πως ἀπειθεϛέρους εἶχον τοὺς ϛρατιώτας, εἰ μὴ δωρεαῖς ἀναρτήσαιντο. Καὶ τοῦτο μὲν πᾶσι φανερὸν ἐκ τῶν τότε γιγνομένων· τόδε δὲ ἴσως ἀγνοεῖται. Ἐν τοῖς περὶ τοῦ Ταρκυνίου, σελ. 15, ἀναγιγνώσκομεν τὸ περίφημον ἐκεῖνο, ὅτι ἐν τῇ τῶν Ἀρδεατῶν πολιορκίᾳ, οἱ νεανίαι εἰς ἔριν ἦλθον, τὴν ἑαυτοῦ γαμετὴν ἑκάϛου προκρίνοντος, ἐτύγχανον γὰρ πᾶσαι ἀπὸ τοῦ ϛρατοπέδου ἀποῦσαι. Ὕϛερον οὖν οἱ ϛρατηγοὶ μετὰ τῶν γυναικῶν τὴν δίαιταν ἐν τοῖς ϛρατοπέδοις ἐποιήσαντο, καταδείξαντος, ὡς ἐγᾦμαι, τοῦ Γερμανικοῦ.

Τὸ *κατεπίμπρων* ᾧ χρῆται ὁ Δίων Λϛ. 4 ἀναμιμνήσκει με καὶ τῶν εἰς μι ῥημάτων. Δῆλός ἐϛιν ὁ συγγραφεὺς ὡς ἐπὶ τὸ πλεῖϛον τοὺς Ἀττικοὺς τύπους προῃρημένος. Καὶ τάδε εὗρον παρ' αὐτῷ *Ἀπόλλυσι* Τόμ. Α', σελ. 72; *Ἀποκτίννυσι* ΝΑ. 11; *Ἀπερρήγνυ* ΜΗ. 48; *Καθείργνυ* ΜΒ. 28; *Ἀπεκτίννυσαν* ΛΕ. 5, ΛΘ. 43, ΞΓ. 17, ΞΗ. 29, ΝΘ. 18; *Ἀπώλλυσαν* ΜΘ. 7; *Διώλλυσαν* Λϛ. 5; ΜΖ. 5; *Ὤμνυσαν* ΜΔ. 50, ΝΗ. 6; *Ἐδείκνυσαν* ΜΗ. 7, Μ. 49; *Ἐχώννυσαν* Ξϛ. 4; *Διερρήγνυσαν* ΜΑ. 57; *Ἀποκτιννύναι* ΝΕ. 20, ΞΓ. 12; *Διολλύναι* ΛΕ. 7; *Δεικνύντες* ΜΖ. 42, ΜΗ. 7; *Ὀμνύς* Ξ. 28; *Ἐπιρρωννύντες* Νϛ. 14; *Διώλλυτο* ΜΗ. 48; *Ἐδείκνυντο* Ν. 8, ΜΕ. 5; *Ἀπεκτίννυντο* ΝΖ. 3; *Διώλλυντο* Τόμ. Α', σελ. 152, Λϛ. 32, ΜΒ. 33, Ξ. 13. Ἐν δ' ἄλλοις οἱ ἀντιγραφῆς εὐεπίφοροι ἐγένοντο ἐπὶ τὸ ἀμαθέϛερον. Τοῦ γὰρ Δίωνος εἰπόντος *Ἐπιδιδόασιν* ΝΒ. 6, εἶτα οἱ ἀντιγραφῆς *ἀπολλύουσι* Τόμ. Α', σελ. 6, 26, 36, 44; *Δεικνύουσι* ΛΕ. 11, ΜΘ. 17; *Ἀναθορνύουσι* ΞΓ. 28. Οὐδὲν μᾶλλον ἐγκριτέα τὰ τοιαῦτα· *Ἀπεκτίννυε* Τόμ. α', σελ. 13, ΜΑ. 60, ΝΖ. 19; ΟΖ. 10; *Ἀπώλλυε* Τόμ. Α', σελ. 13, 145, ΜΓ. 39, ΝΓ. 29, ΝΖ. 19, ΝΘ. 13, Ξ. 18, ΟΗ. 1; *Ὤμνυε* Τόμ. Α', σελ. 140, ΝΖ. 8, ΝΘ. 14, ΜΓ. 20; *Ἐπερρώννυε* ΜΒ. 57, ΟΖ. 19; *Ἐδείκνυε* ΜΓ. 24, ΟΑ. 3; *Ἐκεράννυε* ΟΖ. 17; *Ἀντεπιδεικνύειν* ΟΓ. 14; *Ἐνδεικνύοντες* Τόμ. Α', σελ. 150, ΖΗ. 40; *Κατομνύων* ΝΖ. 23; *Ἐπιρρωννύουσαν* ΟΒ. 23; *Χων-*

νύων Ος. 13; Ζευγνύων Ος. 13. Περὶ δὲ τοῦ κατεπίμπρων, ὅθεν ἀρχὴν ἔλαβεν ὁ λόγος, ἔγωγε ἐπέχω, ἐπεὶ κατὰ τὸν αὐτὸν τρόπον ἀναγιγνώσκεται συνίςων ΜΗ. 6 καὶ ΝΕ. 29 καὶ τὸ ἀκριβῶς Ἀττικὸν οὐδαμοῦ εὑρίσκεται παρὰ τῷ Δίωνι. Τὸ δὲ τοῦ Ξιφιλίνου ὑπεπίμπρα, εἰ παρ' αὐτῷ τῷ Δίωνι εὑρίσκοιτο, διορθωτέον ἂν εἴη, ἐπεὶ ὀρθῶς γράφεται κατεπίμπρη ΜΘ. 10 καὶ 11.

Ἀλλὰ σκοπῶμεν καὶ τάδε, ὧν οὐ χαλεπὴ ἡ διόρθωσις Λς. 5: πολλὰ καὶ ἐκείνους τοὺς μηδὲ χρωμένους τῇ θαλάσσῃ ἐλύπουν. Ἢ δῆλον ὅτι γέγραφεν ὁ Δίων τοὺς μηδὲν χρωμένους.

Σπανιωτάτων ὄντων τῶν ἐν Δίωνι παρεμβεβλημένων, μνήμης ἄξιόν ἐςι καὶ τόδε, Λς. 11, ἐκ τοῦ Γαβινίου πρὸς τὸν Πομπήιον λόγου: ἀλλὰ κἂν ἀποθανεῖν ἀνάγκη σοι γίνηται, (δεῖ σε) μὴ τὴν εἱμαρμένην ἀναμεῖναι, ἀλλὰ τῷ προστυχόντι θανάτῳ χρῆσθαι. Ἐξαλειπτέον τὸ θανάτῳ, πρῶτον μὲν διὰ τὸ κακέμφατον, ἔπειτα δὲ καὶ ἐπεὶ οὐδεὶς ἂν λέγοι θανάτῳ χρῆσθαι ἀντὶ τοῦ ἀποθνήσκειν. Πᾶν ἔνεςιν ἐν τῷ τῷ προστυχόντι χρῆσθαι. Ἀλλαχοῦ δὲ τὸ προστυγχάνειν κεῖται οὐκ ὀρθῶς, Τόμ. Α', σελ. 101. Ἐςὶ μὲν τὸ χωρίον κακῶς ἔχον, ἀλλὰ περὶ τῆς διορθώσεως ἴσως ὕςερον ἐρῶ, τόδε δὲ σαφὲς ὅτι ἐν τοῖς: τῷ δοκεῖν ἀπ' ἀρετῆς ἐκ γένους ἀλλ' οὐκ ἐκ τοῦ προστυχόντος εὐδοκιμεῖν, τὸ ἐκ τοῦ προστυχόντος παρείληπται ἐκ τοῦ Θουκυδίδου Α. 22: γραπτέον οὖν παρατυχόντος, ὥσπερ παρ' ἐκείνῳ ἀναγιγνώσκεται.

Καὶ διέφθαρται τόδε Λς. 17: ἐπὶ πλείω χρόνον ἑξαμήνου. Ὁ γὰρ Δίων, μαθὼν παρὰ τοῦ Φρυνίχου τὸ ἀκριβῶς Ἀττικόν, ὁ γὰρ Αἴλιος Διονύσιος γέγραφε περὶ τῶν τοιούτων συνθέτων κἀκ τούτου ἐςὶν ἔνια ἔτι ἰδεῖν καὶ παρὰ τῷ Φρυνίχῳ σωζόμενα ἐν ταῖς Ἐκλογαῖς, οὐκ ἄν πως εἶπε οὕτως ἀμαθῶς ἑξαμήνου ἀντὶ τοῦ ἐκμήνου. Καὶ δὴ καὶ ὀρθῶς ἔκμηνον εὕρηται παρ' αὐτῷ Τόμ. Α', σελ. 122, ΜΒ. 20, ΝΕ. 31, Νς. 28, ΝΘ. 6. Διορθωτέον οὖν τὰ ἑξάμηνον τετράκις ἀναγιγνωσκόμενον Λς. 17, ΜΒ. 21, ΝΓ. 21, ΝΘ. 7. Εὗρον καὶ ταῦτα: Δεκέτης ΝΔ. 12, Νς. 28; Δεκέτις ΝΔ. 16; Δεκετηρίς ΝΓ. 16, ΝΖ. 24, ΝΗ. 24 καὶ Ος. 1. Γραπτέον οὖν δεκετία, ἀλλ' οὐ δεκαετία ΝΓ. 16 καὶ ΝΕ. 12. Ἔτι δὲ καὶ τάδε: ὀκτωκαιδεκέτης ΜΕ. 4, ΝΒ. 20, ΞΘ. 17; εἰκοσέτης ΝΕ. 9; εἰκοσετηρίς ΝΗ. 24: ἔνθεν διορθωτέα πεντετηρίς ΜΔ. 6 καὶ ΝΒ. 20 πεντεκαιεικοσέτεις. Ἐῶ γὰρ τὸν Ξιφιλῖνον εἰπόντα ΟΘ. 1 πεντα-

τῇ, ΞΑ. 21 πενταετηρικόν, ΞΘ. 8 ἑκκαιδεκαετῆ, ΟΒ. 1 ἐννεακαιδεκαέτης καὶ ΞΒ. 26 τριακονταετηρίδι. — Τὸ δὲ χωρίον, ἐξ οὗ παρεξέβημεν, δείξει τὸ ἀκριβὲς ἐν τοῖς εὐθὺς μετὰ ταῦτα: ἐφ' ᾧ μήτε πλείω τοῦ τεταγμένου χρόνου μήτε ἔξω τῆς Ἰταλίας ἄρξῃ. Γραπτέον γὰρ χρόνον ἀντὶ τοῦ χρόνου.

Τάδε ὁ Δινδόρφιος παραδιορθῶσαί μοι δοκεῖ, Λϛ. 21: πολλοὶ τῶν ὑπὸ τῶν τιμητῶν διαγεγραμμένων ἀναλαβεῖν τὴν πρότερον βουλείαν ἐσπούδαζον. Τὸ γὰρ πρότερον οὐ καλῶς παρέλκει. Οὐδ' ἐςὶν ἡ λέξις ἐν τοῖς ἀντιγράφοις· παρὰ γοῦν τῷ Ῥειμάρῳ οὕτως ἀναγιγνώσκεται τὸ χωρίον· ἀναλαβεῖν πρότερόν τινα τὴν βουλὴν ἐσπούδαζον. Καὶ τοῦτο μὲν διρθώσεως δεόμενον, τὸ δ' ἀληθὲς οὐ δύσκολον εὑρεῖν, δηλονότι τρόπον τινὰ ἀντὶ τοῦ πρότερόν τινα.

Ἱςορεῖ ὁ Δίων Λϛ. 27 ὡς ἡ γερουσία τὸν Πίσωνα ἐς Ἰβηρίαν ἔπεμψε πρόφασιν ὡς καὶ ἐπ' ἀρχήν τινα. Ἀλλ' οὐκ ἦν αὕτη πρόφασις· ἀντιςράτηγος γὰρ ἐγένετο ὁ Πίσων. Γέγραφεν ὁ Δίων ὡς ἐμοὶ δοκεῖ ἐπὶ ταραχήν τινα. Ὅθεν κατά γε τὸν Δίωνα ὑπὸ τῶν ἐπιχωρίων ἐσφάγη.

Ἐν τῷ πρὸς Μιθριδάτην πολέμῳ ὁ Δίων τὴν τοῦ Πομπηΐου νυκτομαχίαν διηγούμενος γράφει καὶ τάδε, Λϛ. 32: ἐν ταὐτῷ τοῖς ἵπποις καὶ ταῖς καμήλοις καὶ παντοδαποῖς οὖσι καὶ οἱ ἄνδρες καὶ αἱ γυναῖκες ἀναςρεφόμενοι κτέ. Ἀλλὰ πρόδηλον ὅτι διέφθαρται τὸ οὖσι· εἰ γὰρ καὶ μάλιςα παντοδαποὶ ἦσαν οἱ ἵπποι καὶ αἱ κάμηλοι, οὐκ ἂν διά γε τοῦτο μείζων ἐγένετο ὁ θόρυβος καὶ ἡ ταραχή. Ὁ δὲ Θουκυδίδης, ὃν ὁ Δίων κἀνταῦθα ἐμιμήσατο Ζ. 84, περί τε τοῖς δορατίοις, φησίν, καὶ σκεύεσιν οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον. Νῦν δ' ἄρα ἐςὶ δῆλον τὸ λεῖπον. Εἰ γράψομεν οὕτως κατὰ τὸ παλαιὸν ἔθος, εὐθὺς ἀναφανήσεται ὃ ζητοῦμεν: ΠΑΝΤΟΔΑΠΟΙΣΟΥΣΙ τουτέστι παντοδαποῖς σκεύεσι. Ἀλλ' οὐδὲ ὀρθὰ τὰ εὐθὺς μετὰ ταῦτα τάδε· κἀκ τούτου ῥᾷον ἅτε καὶ ἀλλήλοις ἐμπλαζόμενοι ἐφθείροντο. Μεταγραπτέον γὰρ ὃ νυνδὴ παρὰ Θουκυδίδῃ ἑοράκαμεν ἐμπαλασσόμενοι. Καὶ δὴ σκοπῶμεν τοῦ Δίωνος καὶ τάδε: ΞΒ. 16: ἀλλήλοις τ' ἐνεπλάζοντο καὶ περὶ τοῖς σκεύεσιν ἐσφάλλοντο. ΟΒ. 19: ὑπὸ τοῦ ὄχλου καὶ τῆς ςενοχωρίας ἐμπλασθέντες αὐτοῖς. Κἀνταῦθα φανερῶς ἔςιν ὁρᾶν τὸν Δίωνα μιμούμενον τὸν Θουκυδίδην, ὅθεν διορθωτέα μοι δοκεῖ ἐνεπαλάσσοντο καὶ ἐμπαλαχθέντες. Συχνῶς ὑπὸ τῶν ἀντιγραφέων διαφθει-

ρεται τὸ ῥῆμα. Αὐτίκα ὁ Σουΐδας, ἐξηγησάμενος τὸ τοῦ Θουκυδίδου χωρίον καὶ ὀρθῶς γράψας, εἶτα παράγει δύο ἕτερα χωρία παραληφθέντα ἐξ Αἰλιανοῦ καὶ ἄλλου τινὸς συγγραφέως ἀνωνύμου· ἀλλ' ὅμως οὐδὲν φροντίζων τῆς γνησίας γραφῆς, κακῶς γράφει ἐμπλασσόμενοι. Τὸ δὲ ἐμπαλασσόμενοι καὶ παρὰ τῷ Ἡροδότῳ Ζ. 85 καὶ παρὰ Θουκυδίδῃ καὶ παρὰ τοῖς ἄλλοις ὅ τι σημαίνει, δηλοῖ ὁ σχολιαςὴς παραγράψας τὸ συμπλεκόμενοι κατέπιπτον· ἐςὶ δὲ τοῦτο βέλτιον ἢ τὸ τοῦ Σουΐδα ἐμπίπτοντες εἰς τὸ ὕδωρ. Ὁ δ' Αἴλιος Διονύσιος ὁ τῶν Φρυνιχείων πατήρ, ὥσπερ πολλάκις εἴρηταί μοι, παρ' Εὐςαθίῳ γράφει οὕτω πως· ἐμπαλασσόμενοι ἀντὶ τοῦ ἐμπλεκόμενοι, περιπειρόμενοι δόρατι, φερόμενοι. Ὁ δὲ Δίων τρὶς χρησάμενος τῷ Θουκυδιδείῳ ῥήματι, ὥσπερ εἶπον, δὶς ἔν γε τοῖς νῦν σωζομένοις εἵλετο τὸ συνηθέςερον· ΜΖ. 44: συμπλεκόμενοί τινες τὸ μὲν παίειν ἀλλήλους ἀφῃροῦντο. ΟΑ. 7: συμπλεκόμενοι κατέβαλλον καὶ τοὺς ἄνδρας καὶ τοὺς ἵππους. Καὶ τῶν Δίωνος ἀντιγράφων φερόντων τὸ ἐμπελάζεσθαι συν τῷ ε, θαυμάζω διὰ τί ὁ Δινδόρφιος μᾶλλον εἵλετο γράφειν ἐμπλάζεσθαι, ὃ εὑρίσκεται ΞΒ. 16, ἄλλως τε καὶ ἐπειδὴ ὁμοῖα καὶ παραπλήσια τὰ τοῦ Θουκυδίδου καὶ τοῦ Δίωνος χωρία. Καὶ οὐδὲν θαυμαςὸν εἰ τὸ ῥῆμα διέφθαρται ἐν τοῖς ἀντιγράφοις, τόδε δὲ θαυμαστὸν ἂν ἦν, εἰ ὁ Δίων ὁ πάντα τὰ τοιαῦτα ἐκλέγων, μὴ καὶ ἐκεῖνο εἰς τὰ αὑτοῦ βιβλία μετενηνόχει.

Ἐν τῷ αὐτῷ τοῦ Δίωνος κεφαλαίῳ διορθώσομεν καὶ τόδε· ἐν ᾧ γε οὕτω προσέμισγόν σφισιν· ἀναγκαῖόν ἐςι δήπου γράφειν τὸ οὔπω ἀντὶ τοῦ οὕτω, ὥσπερ τὰ συμφραζόμενα σαφέςατα δείκνυσι.

Καὶ ταῦτα μὲν δὴ ταύτῃ· εἰ δὲ σοὶ δοκεῖ, ὦ κράτιςε Κόντοε, ὕςερον ἐπιςελῶ σοι περὶ τῶν λοιπῶν.

ZWOLLE, 2 *Januari* 1867. S. A. NABER.